e | rara

www.e-rara.ch

# Hērodotou Logoi ennea, hoiper epikalountai Mousai

## Herodotus

## Basileae, [1557]

## Universitätsbibliothek Basel

Persistent Link: https://doi.org/10.3931/e-rara-104620

Ērodotou Istoriōn Ogdoe. Ourania

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

Visual Library

πρῶτοι. καὶ οὕτω δὴ ἐς τὸ χρηστήριον τὸ ἐς Δελφοὺς ἀπέπεμψαν. ἔνθα δή σφι ἐχρήσθη, τά περ ὀλίγῳ πρότερον εἶπον. ἐπύθοντο δὲ τρόπῳ θωμασίῳ. Δημάρητος γὰρ ὁ Ἀρίστωνος φυγὼν ἐς Μήδους, ὡς μὲν ἐγὼ δοκέω, καὶ τὸ οἰκὸς ἐμοὶ συμμάχεται, οὐκ ἦν εὔνοος Λακεδαιμονίοισι. πάρεστι δὲ εἰκάζειν εἴτε εὐνοίῃ ταῦτα ἐποίησε, εἴτε καὶ καταχαίρων. ἐπείτε γὰρ Ξέρξῃ ἔδοξε στρατηλατέειν ἐπὶ τὴν Ἑλλάδα, ἐὼν ἐν Σούσοισι ὁ Δημάρητος, καὶ πυθόμενος ταῦτα, ἠθέλησε Λακεδαιμονίοισι ἐξαγγεῖλαι, ἄλλως μὲν δὴ οὐκ εἶχε σημῆναι. ἐπικίνδυνον γὰρ ἦν μὴ λαμφθείη. ὁ δὲ μηχανᾶται τοιάδε, δελτίον δίπτυχον λαβὼν τὸν κηρὸν αὐτοῦ ἐξέκνησε. καὶ ἔπειτα ἐν τῷ ξύλῳ τοῦ δελτίου ἔγραψε τὴν βασιλέος γνώμην. ποιήσας δὲ ταῦτα, ὀπίσω ἐπέτηξε τὸν κηρὸν ἐπὶ τὰ γράμματα, ἵνα φερόμενον κεινὸν τὸ δελτίον μηδὲν πρῆγμα παρέχοι πρὸς τῶν ὁδοφυλάκων. ἐπεὶ δὲ ἀπίκετο ἐς τὴν Λακεδαίμονα, οὐκ εἶχον συμβαλέσθαι οἱ Λακεδαιμόνιοι, πρίν γε δή σφι ὡς ἐγὼ πυνθάνομαι, Κλεομένεος μὲν θυγάτηρ, Λεωνίδεω δὲ γυνὴ Γοργὼ ὑπέθετο, ἐπιφρασθεῖσα αὐτὴ τὸν κηρὸν κνᾶν κελεύουσα, καὶ εὑρήσειν σφέας γράμματα ἐν τῷ ξύλῳ. πειθόμενοι δὲ εὗρον, καὶ ἐπελέξαντο. ἔπειτα δὲ τοῖσι ἄλλοισι Ἕλλησι ἐπέστειλαν.

ΗΡΟΔΟΤΟΥ ΙΣΤΟΡΙΩΝ ΕΒΔΟΜΗ.

# ΗΡΟΔΟΤΟΥ ΙΣΤΟΡΙΩΝ ΟΓΔΟΗ.

## ΟΥΡΑΝΙΑ.

Αὗται μὲν δὴ οὕτω λέγεται γενέσθαι. οἱ δὲ Ἑλλήνων ἐς τὸν ναυτικὸν στρατὸν ταχθέντες, ἔσαν οἵδε. Ἀθηναῖοι μὲν νέας παρεχόμενοι ἑκατὸν, καὶ εἴκοσι, καὶ ἑπτά. ὑπὸ δὲ ἀρετῆς τε καὶ προθυμίης, Πλαταιέες ἄπειροι τῆς ναυτικῆς ἐόντες, συνεπλήρουν τοῖσι Ἀθηναίοισι τὰς νέας. Κορίνθιοι δὲ τεσσεράκοντα νέας παρείχοντο. Μεγαρέες δὲ εἴκοσι, καὶ Χαλκιδέες ἐπλήρουν εἴκοσι, Ἀθηναίων παρεχόντων σφι τὰς νέας. Αἰγινῆται δὲ ὀκτωκαίδεκα. Σικυώνιοι δὲ δυοκαίδεκα. Λακεδαιμόνιοι δὲ δέκα. Ἐπιδαύριοι δὲ ὀκτώ. Ἐρετριέες δὲ ἑπτά. Τροιζήνιοι δὲ πέντε. Στυρέες δὲ δύο. καὶ Κῖοι, δύο τε νέας, καὶ πεντηκοντέρους δύο. Λοκροὶ δέ σφι οἱ Ὀπούντιοι, ἐπεβοήθεον πεντηκοντέρους ἔχοντες ἑπτά. ἔσαν μὲν ὦν οὗτοι οἱ στρατευόμενοι ἐπ' Ἀρτεμίσιον. εἴρηται δέ μοι καὶ ὡς τὸ πλῆθος ἕκαστοι τῶν νεῶν παρείχοντο. ἀριθμὸς δὲ τῶν συλλεχθεισέων νεῶν ἐπ' Ἀρτεμίσιον, ἦν πάρεξ τῶν πεντηκοντέρων διηκόσιαι καὶ ἑβδομήκοντα καὶ μία. τὸν δὲ στρατηγὸν τὸν τὸ μέγιστον κράτος ἔχοντα, παρείχοντο Σπαρτιῆται, Εὐρυβιάδην τὸν Εὐρυκλείδεω. οἱ γὰρ σύμμαχοι οὐκ ἔφασαν, ἢν μὴ ὁ Λάκων ἡγεμονεύῃ, Ἀθηναίοισι ἕψεσθαι ἡγεομένοισι, ἀλλὰ λύσειν τὸ μέλλον ἔσεσθαι στράτευμα. ἐγένετο γὰρ κατ' ἀρχὰς λόγος, πρὶν ἢ καὶ ἐς Σικελίην πέμπειν ἐπὶ συμμαχίην, ὡς τὸ ναυτικὸν Ἀθηναίοισι χρεὼν εἴη ἐπιτρέπειν. ἀντιβάντων δὲ τῶν συμμάχων, εἶκον οἱ Ἀθηναῖοι, μέγα πεποιημένοι περιεῖναι τὴν Ἑλλάδα. καὶ γνόντες εἰ στασιάσουσι περὶ τῆς ἡγεμονίης, ὡς ἀπολέεται ἡ Ἑλλάς, ὀρθὰ νοεῦντες. Στάσις γὰρ ἔμφυλος πολέμου ὁμοφρονέοντος, τοσούτῳ κάκιόν ἐστι, ὅσῳ πόλεμος εἰρήνης. ἐπιστάμενοι ὦν αὐτὸ τοῦτο, οὐκ ἀντέτεινον, ἀλλ' εἶκον μέχρι ὅσου κάρτα ἐδέοντο αὐτέων, ὡς διέδεξαν. ὡς γὰρ δὴ ὠσάμενοι τὸν Πέρσεα, περὶ τῆς ἐκείνου ἤδη τὸν ἀγῶνα ἐποιεῦντο, πρόφασιν τὴν Παυσανίεω ὕβριν προϊσχόμενοι, ἀπείλοντο τὴν ἡγεμονίην τοὺς Λακεδαιμονίους. ἀλλὰ ταῦτα μὲν ὕστερον ἐγένετο. τότε δὲ οὗτοι οἱ καὶ ἐπ' Ἀρτεμίσιον Ἑλλήνων ἀπικόμενοι, ὡς εἶδον νέας τε πολλὰς καταχθείσας ἐς τὰς Ἀφέτας, καὶ στρατιῆς ἅπαντα πλέα, ἐπεὶ αὐτοῖσι παρὰ δόξαν τὰ πρήγματα τῶν βαρβάρων ἀπέβαινε, ἢ ὡς

κη ὡς αὐτοὶ κατεδόκεον, καταῤῥωδήσαντες, δρησμὸν ἐβούλευον ἀπὸ τοῦ Ἀρτεμισίου ἔσω ἐς τὴν Ἑλλάδα. γνόντες δέ σφεας οἱ Εὐβοέες ταῦτα βουλευομένους, ἐδέοντο Εὐρυβιάδεω προσμεῖναι χρόνον ὀλίγον, ἔστ' ἂν αὐτοὶ τέκνα τε καὶ τοὺς οἰκέτας ὑπεκθέωνται. ὡς δ' οὐκ ἔπειθον, μεταβάντες τὸν Ἀθηναίων στρατηγὸν πείθουσι Θεμιστοκλέα, ἐπὶ μισθῷ τριήκοντα ταλάντοισι, ἐπ' ᾧ τε καταμείναντες, πρὸ τῆς Εὐβοίης ποιήσονται τὴν ναυμαχίην. ὁ δὲ Θεμιστοκλέης τοὺς Ἕλληνας ἐπισχεῖν ὧδε ποιέει. Εὐρυβιάδῃ τούτων τῶν χρημάτων μεταδιδοῖ πέντε τάλαντα, ὡς παρ' ἑωυτοῦ δῆθεν διδούς. ὡς δέ οἱ οὗτος ἀνεπέπειστο, Ἀδείμαντος γὰρ ὁ Ὠκύτου, Κορίνθιος στρατηγός, τῶν λοιπῶν ἤσπαιρε μοῦνος, φάμενος ἀποπλεύσεσθαί τε ἀπὸ τοῦ Ἀρτεμισίου, καὶ οὐ παραμενέειν. πρὸς δὴ τοῦτον, εἶπε ὁ Θεμιστοκλέης ἐπομόσας, οὐ σύ γε ἡμέας ἀπολείψεις, ἐπεί τοι ἐγὼ μέζω δῶρα δώσω, ἢ βασιλεὺς ἄν τοι ὁ Μήδων πέμψειε ἀπολιπόντι τοὺς συμμάχους. ταῦτά τε ἅμα ἠγόρευε, καὶ πέμπει ἐπὶ τὴν νέα τοῦ Ἀδειμάντου, τάλαντα ἀργυρίου τρία. οὗτοί τε δὴ πληγέντες δώροισι, ἀναπεπεισμένοι ἔσαν· καὶ τοῖσι Εὐβοεῦσι ἐκεχάριστο, αὐτός τε ὁ Θεμιστοκλέης ἐκέρδηνε. ἐλάνθανε δὲ τὰ λοιπὰ ἔχων, ἀλλ' ἠπιστέατο οἱ μεταλαβόντες τούτων τῶν χρημάτων ἐκ τῶν Ἀθηναίων ἐλθεῖν ἐπὶ τῷ λόγῳ τούτῳ τὰ χρήματα. οὕτω δὴ κατέμειναν αὐτοῦ ἐν τῇ Εὐβοίῃ, καὶ ἐναυμάχησαν. ἐγένετο δὲ ὧδε. ἐπεί τε δὴ ἐς τὰς Ἀφέτας περὶ δείλην πρωΐην γινομένην ἀπικέατο οἱ βάρβαροι, πυθόμενοι μὲν ἔτι καὶ πρότερον περὶ τὸ Ἀρτεμίσιον ναυλοχέειν νέας Ἑλληνίδας ὀλίγας, τότε δὲ αὐτοὶ ἰδόντες, πρόθυμοι ἔσαν ἐπιχειρέειν, εἴ κως ἕλοιεν αὐτάς. ἐκ μὲν δὴ τῆς ἀντίης προσπλέειν οὔκω σφι ἐδόκεε, τῶνδε εἵνεκα, μή κως ἰδόντες οἱ Ἕλληνες προσπλέοντας, ἐς φυγὴν ὁρμήσειαν, φεύγοντάς τε εὐφρόνη καταλάβοι, καὶ ἔμελλον δῆθεν ἐκφεύξεσθαι. ἔδει δὲ μηδὲ πυρφόρον τῷ ἐκείνων λόγῳ ἐκφυγόντα περιγενέσθαι. πρὸς ταῦτα ὦν, τάδε ἐμηχανέοντο. τῶν νεῶν ἁπασέων ἀποκρίναντες διηκοσίας, περιέπεμπον ἔξωθεν Σκιάθου, ὡς ἂν μὴ ὀφθείησαν ὑπὸ τῶν πολεμίων περιπλέουσαι Εὔβοιαν, κατά τε Καφηρέα, καὶ περὶ Γεραιστὸν ἐς τὸν Εὔριπον, ἵνα δὴ περιλάβοιεν. οἱ μὲν ταύτῃ ἀπικόμενοι, καὶ φράξαντες αὐτέων τὴν ὀπίσω φέρουσαν ὁδόν, σφεῖς δὲ ἐπισπόμενοι ἐξ ἐναντίης, ταῦτα βουλευσάμενοι, ἀπέπεμπον τῶν νεῶν τὰς ταχθείσας, αὐτοὶ οὐκ ἐν νόῳ ἔχοντες ταύτης τῆς ἡμέρης τοῖσι Ἕλλησι ἐπιθήσεσθαι, οὐδὲ πρότερον ἢ τὸ σύνθημά σφι ἔμελλε φανήσεσθαι παρὰ τῶν περιπλεόντων, ὡς ἡκόντων. ταύτας μὲν δὴ περιέπεμπον. τῶν δὲ λοιπέων νεῶν ἐν τῇσι Ἀφέτῃσι ἐποιεῦντο τὸν ἀριθμόν. ἐν δὲ τούτῳ τῷ χρόνῳ, ἐν ᾧ οὗτοι ἀριθμὸν ἐποιεῦντο τῶν νεῶν, ἦν γὰρ ἐν τῷ στρατοπέδῳ τούτῳ Σκυλλίης Σκιωναῖος, δύτης τῶν τότε ἀνθρώπων ἄριστος, ὃς καὶ ἐν τῇ ναυηγίῃ τῇ κατὰ τὸ Πήλιον γενομένῃ πολλὰ μὲν ἔσωσε τῶν χρημάτων τοῖσι Πέρσῃσι, πολλὰ δὲ καὶ αὐτὸς περιεβάλετο· οὗτος ὁ Σκυλλίης, ἐν νόῳ μὲν εἶχε ἄρα καὶ πρότερον αὐτομολήσειν ἐς τοὺς Ἕλληνας, ἀλλ' οὐ γάρ οἱ παρέσχε, ὡς τότε. ὅτεῳ μὲν δὴ τρόπῳ τὸ ἐνθεῦτεν ἔτι ἀπίκετο ἐς τοὺς Ἕλληνας, οὐκ ἔχω εἰπεῖν ἀτρεκέως, θωυμάζω δὲ εἰ τὰ λεγόμενά ἐστι ἀληθέα. λέγεται γάρ, ὡς ἐξ Ἀφετέων δὺς ἐς τὴν θάλασσαν, οὐ πρότερον ἀνέσχε, πρὶν ἢ ἀπίκετο ἐπὶ τὸ Ἀρτεμίσιον, σταδίους μάλιστά κῃ τούτους ἐς ὀγδώκοντα διὰ τῆς θαλάσσης διεξελθών. λέγεται μέν νυν καὶ ἄλλα ψευδέσι εἴκελα περὶ τοῦ ἀνδρὸς τούτου, τὰ δὲ μετεξέτερα, ἀληθέα. περὶ μέντοι τούτου, γνώμη μοι ἀποδεδέχθω πλοίῳ μιν ἀπικέσθαι ἐπὶ τὸ Ἀρτεμίσιον. ὡς δὲ ἀπίκετο, αὐτίκα ἐσήμαινε τοῖσι στρατηγοῖσι τήν τε ναυηγίην ὡς γένοιτο, καὶ τὰς περιπεμφθείσας τῶν νεῶν περὶ Εὔβοιαν. τοῦτο δὲ ἀκούσαντες οἱ Ἕλληνες, λόγον σφίσι αὐτοῖσι ἐδίδοσαν. πολλῶν δὲ λεχθέντων, ἐνίκα τὴν ἡμέρην ἐκείνην αὐτοῦ μείναντάς τε καὶ αὐλισθέντας, μετέπειτα νύκτα μέσην παρέντας, πορεύεσθαι καὶ ἀπαντᾶν τῇσι περιπλεούσῃσι τῶν νηῶν. μετὰ δὲ τοῦτο ὡς οὐδείς σφι ἐπέπλωε, δείλην ὀψίην γινομένην τῆς ἡμέρης φυλάξαντες, αὐτοὶ ἐπανέπλωον ἐπὶ τοὺς βαρβάρους, ἀπόπειραν αὐτέων ποιήσασθαι βουλόμενοι τῆς τε μάχης, καὶ τοῦ διεκπλόου. ὁρέοντες δέ σφεας οἵ τε ἄλλοι στρατιῶται οἱ Ξέρξεω, καὶ οἱ στρατηγοὶ ἐπιπλώοντας νηυσὶ ὀλίγῃσι, πάγχυ σφι μανίην ἐπενείκαντες, ἀνῆγον καὶ αὐτοὶ τὰς νέας, ἐλπίσαντές σφεας εὐπετέως αἱρήσειν, οἰκότα κάρτα ἐλπίσαντες. τὰς μέν γε τῶν Ἑλλήνων ὁρέοντες ὀλίγας νέας, τὰς δὲ ἑωυτῶν πλήθεΐ τε πολλαπλασίας, καὶ ἄμεινον πλωούσας, καταφρονήσαντες ταῦτα, ἐκυκλοῦντο αὐτὰς ἐς μέσον. ὅσοι μέν νυν τῶν Ἰώνων ἔσαν εὔνοοι τοῖσι

Ἕλλησι, ἀεκόντες τε ἐστρατεύοντο, συμφορὴν τε ἐποιεῦντο μεγάλην, ὁρέοντες περιεχομένους αὐτοὺς, καὶ ἐπιστάμενοι ὡς οὐδεὶς αὐτέων ἀπονοστήσει. οὕτω ἀσθενέα σφι ἐφαίνετο εἶναι τὰ τῶν Ἑλλήνων πρήγματα. ὅσοισι δὲ καὶ ἡδομένοισι ἦν τὸ γινόμενον, ἅμιλλαν ἐποιεῦντο, ὅκως ἕκαστος αὐτέων πρῶτος νέα Ἀττικὴν ἑλὼν, δῶρα παρὰ βασιλέος λάμψεται. Ἀθηναίων γὰρ αὐτοῖσι λόγος ἦν πλεῖστος ἀνὰ τὰ στρατόπεδα. τοῖσι δὲ Ἕλλησι ὡς ἐσήμηνε, πρῶτα μὲν ἀντίπρωροι τοῖσι βαρβάροισι γινόμενοι, ἐς τὸ μέσον τὰς πρύμνας συνήγαγον. δεύτερα δὲ σημήναντος, ἔργου εἴχοντο ἐν ὀλίγῳ περ ἀπολαμφθέντες, καὶ κατὰ στόμα. ἐνθαῦτα τριήκοντα νέας αἱρέουσι τῶν βαρβάρων, καὶ τὸν Γόργου τοῦ Σαλαμινίων βασιλέος ἀδελφεὸν Φιλάονα τὸν Χέρσιος, λόγιμον ἐόντα ἐν τῷ στρατοπέδῳ ἄνδρα. πρῶτος δὲ Ἑλλήνων νέα τῶν πολεμίων εἷλε ἀνὴρ Ἀθηναῖος Λυκομήδης Αἰσχρέου, καὶ τὸ ἀριστήϊον ἔλαβε οὗτος. τοὺς δ' ἐν τῇ ναυμαχίῃ ταύτῃ ἑτεραλκέως ἀγωνιζομένους, νὺξ ἐπελθοῦσα διέλυσε. οἱ μὲν δὴ Ἕλληνες, ἐπὶ τὸ Ἀρτεμίσιον ἀπέπλεον. οἱ δὲ βάρβαροι ἐς τὰς Ἀφέτας, πολλὸν παρὰ δόξαν ἀγωνισάμενοι. ἐν ταύτῃ τῇ ναυμαχίῃ Ἀντίδωρος Λήμνιος μοῦνος τῶν σὺν βασιλέϊ Ἑλλήνων ἐόντων, αὐτομολέει ἐς τοὺς Ἕλληνας. καὶ οἱ Ἀθηναῖοι διὰ τοῦτο τὸ ἔργον ἔδοσαν αὐτῷ χῶρον ἐν Σαλαμῖνι. ὡς δὲ εὐφρόνη δ' ἐγεγόνεε, ἦν μὲν τῆς ὥρης μέσον θέρος, ἐγίνετο δὲ ὕδωρ τε ἄπλετον διὰ πάσης τῆς νυκτὸς, καὶ βρονταὶ σκληραὶ ἀπὸ τοῦ Πηλίου. οἱ δὲ νεκροὶ, καὶ τὰ ναυήγια, ἐξεφορέοντο ἐς τὰς Ἀφέτας. καὶ περί τε τὰς πρῴρας τῶν νεῶν εἱλέοντο, καὶ ἐτάρασσον τοὺς ταρσοὺς τῶν κωπέων. οἱ δὲ στρατιῶται οἱ ταύτῃ ἀκούοντες ταῦτα, ἐς φόβον κατιστέατο, ἐλπίζοντες πάγχυ ἀπολέεσθαι, ἐς οἷα κακὰ ἧκον. πρὶν γὰρ ἢ καὶ ἀναπνεῦσαί σφεας ἔκ τε τῆς ναυηγίης καὶ τοῦ χειμῶνος τοῦ γενομένου κατὰ Πήλιον, ὑπέλαβε ναυμαχίη καρτερή. ἐκ δὲ τῆς ναυμαχίης, ὄμβρος τε λάβρος, καὶ ῥεύματα ἰσχυρὰ κατὰ θάλασσαν ὁρμημένα, βρονταί τε σκληραί. καὶ τούτοισι μὲν τοιαύτη νὺξ ἐγίνετο. τοῖσι δὲ ταχθεῖσι αὐτέων περιπλώειν Εὔβοιαν, ἡ αὐτή περ ἐοῦσα νὺξ, πολλὸν ἦν ἔτι ἀγριωτέρη τοσούτῳ, ὅσῳ ἐν πελάγεϊ φερομένοισι ἐπέπιπτε. καὶ τὸ τέλος σφι ἐγένετο ἄχαρι. ὡς γὰρ δὴ πλέουσι αὐτοῖσι χειμών τε καὶ τὸ ὕδωρ ἐπεγίνετο ἐοῦσι κατὰ τὰ Κοῖλα τῆς Εὐβοίης, φερόμενοι τῷ πνεύματι, καὶ οὐκ εἰδότες τῇ ἐφέροντο, ἐξέπιπτον πρὸς τὰς πέτρας. ἐποιέετό τε πᾶν ὑπὸ θεοῦ, ὅκως ἂν ἐξισωθείη τῷ Ἑλληνικῷ τὸ Περσικὸν, μηδὲ πολλῷ πλέον εἴη. οὗτοι μέν νυν περὶ τὰ Κοῖλα τῆς Εὐβοίης διεφθείροντο. οἱ δ' ἐν Ἀφέτῃσι βάρβαροι, ὥς σφι ἀσμένοισι ἡμέρη ἐπέλαμψε, ἀτρέμας τε εἶχον τὰς νέας· καί σφι ἀπεχρέετο κακῶς πρήσσουσι ἡσυχίην ἄγειν ἐν τῷ παρεόντι. τοῖσι δὲ Ἕλλησι ἐπεβοήθεον νέες τρεῖς καὶ πεντήκοντα Ἀττικαί. αὗταί τε δή σφεας ἐπέρρωσαν ἀπικόμεναι. καὶ ἅμα ἀγγελίη ἐλθοῦσα, ὡς τῶν βαρβάρων οἱ περιπλέοντες τὴν Εὔβοιαν πάντες εἴησαν διεφθαρμένοι ὑπὸ τοῦ γενομένου χειμῶνος, φυλάξαντες δὴ τὴν αὐτὴν ὥρην, πλώοντες, ἐπέπεσον νηυσὶ Κιλίσσῃσι. ταύτας δὲ διαφθείραντες, ὡς εὐφρόνη ἐγένετο, ἀπέπλωον ὀπίσω ἐπὶ τὸ Ἀρτεμίσιον. τρίτῃ δὲ ἡμέρῃ δεινόν τι ποιησάμενοι οἱ στρατηγοὶ τῶν βαρβάρων νέας οὕτω σφι ὀλίγας λυμαίνεσθαι, καὶ τὸ ἀπὸ Ξέρξεω δειμαίνοντες, οὐκ ἀνέμειναν ἔτι τοὺς Ἕλληνας μάχης ἄρξαι, ἀλλὰ παρακελευσάμενοι, κατὰ μέσον ἡμέρης ἀνῆγον τὰς νέας. συνέπιπτε δὲ ὥστε τὰς αὐτὰς ἡμέρας τάς τε ναυμαχίας γίνεσθαι ταύτας, καὶ τὰς πεζομαχίας τὰς ἐν Θερμοπύλῃσι. ἦν δὲ πᾶς ὁ ἀγὼν τοῖσι κατὰ θάλασσαν περὶ τοῦ Εὐρίπου, ὥσπερ τοῖσι ἀμφὶ Λεωνίδεα, τὴν ἐσβολὴν φυλάσσειν. οἱ μὲν δὴ παρεκελεύοντο, ὅκως μὴ παρήσωσι ἐς τὴν Ἑλλάδα τοὺς βαρβάρους. οἱ δ' ὅκως τὸ Ἑλληνικὸν στράτευμα διαφθείραντες, τοῦ πόρου κρατήσωσι. ὡς δὲ ταξάμενοι οἱ Ξέρξεω ἐπέπλωον, οἱ Ἕλληνες ἀτρέμας εἶχον πρὸς τῷ Ἀρτεμισίῳ. οἱ δὲ βάρβαροι μηνοειδὲς ποιήσαντες τῶν νεῶν, ἐκυκλεῦντο ὡς περιλάβοιεν αὐτούς. ἐνθεῦτεν οἱ Ἕλληνες ἐπανέπλεόν τε, καὶ συνέμισγον. ἐν ταύτῃ τῇ ναυμαχίῃ παραπλήσιοι ἀλλήλοισι ἐγένοντο. ὁ γὰρ Ξέρξεω στρατὸς ὑπὸ μεγάθεός τε καὶ πλήθεος, αὐτὸς ὑπ' ἑωυτοῦ ἔπιπτε, ταρασσομενέων τε τῶν νεῶν, καὶ περιπιπτουσέων περὶ ἀλλήλας· ὅμως μέν τοι ἀντεῖχε, καὶ οὐκ εἶκε. δεινὸν γὰρ χρῆμα ἐποιέοντο, ὑπὸ νεῶν ὀλίγων ἐς φυγὴν τραπέσθαι. πολλαὶ μὲν δὴ τῶν Ἑλλήνων νέες διεφθείροντο, πολλοὶ δὲ ἄνδρες. πολλῷ δ' ἔτι πλεῦνες νέες τε τῶν βαρβάρων, καὶ ἄνδρες. οὕτω δὲ ἀγωνιζόμενοι, διέστησαν χωρὶς ἑκάτεροι. ἐν ταύτῃ τῇ ναυμαχίῃ

Αἰγύπτιοι μὲν τῶν Ξέρξεω στρατιωτέων ἠρίστευσαν. οἳ ἄλλα τε μεγάλα ἔργα ἀπεδέξαντο, καὶ νέας αὐτοῖσι ἀνδράσι εἷλον Ἑλληνίδας πέντε. τῶν δὲ Ἑλλήνων κατὰ ταύτην τὴν ἡμέρην, ἠρίστευσαν Ἀθηναῖοι. καὶ Ἀθηναίων Κλεινίης ὁ Ἀλκιβιάδεω. ὃς δαπάνην οἰκηίην παρεχόμενος, ἐστρατεύετο ἀνδράσι τε διηκοσίοισι, καὶ οἰκηίῃ νηΐ. ὡς δὲ διέστησαν ἄσμενοι ἑκάτεροι, ἐς ὅρμον ἠπείγοντο. οἱ δὲ Ἕλληνες ὡς διακριθέντες ἐκ τῆς ναυμαχίης ἀπηλλάχθησαν, τῶν μὲν νεκρῶν, καὶ τῶν ναυηγίων ἐπεκράτεον. τρηχέως δὲ περιεφθέντες, καὶ οὐκ ἥκιστα Ἀθηναῖοι, τῶν αἱ ἡμίσεαι τῶν νεῶν τετρωμέναι ἦσαν, δρησμὸν δὴ ἐβούλευον ἔσω ἐς τὴν Ἑλλάδα. νόῳ δὲ λαβὼν ὁ Θεμιστοκλέης ὡς εἰ ἀποῤῥαγείη ἀπὸ τοῦ βαρβαρικοῦ τό τε ἰωνικὸν, καὶ τὸ καρικὸν φῦλον, οἷοί τε εἴησαν τῶν λοιπῶν κατύπερθε γενέσθαι, ἐλαυνόντων τῶν Εὐβοέων πρόβατα ἐπὶ τὴν θάλασσαν ταύτην, συλλέξας τοὺς στρατηγοὺς, ἔλεγέ σφι ὡς δοκέοι ἔχειν τινὰ παλάμην, τῇ ἐλπίζοι τῶν βασιλῆος συμμάχων ἀποστήσειν τοὺς ἀρίστους. ταῦτα μέν νυν ἐς τοσοῦτο παρεγύμνου. ἐπὶ δὲ τοῖσι κατήκουσι πρήγμασι, τάδε ποιητέα εἶναι σφι ἔλεγε, τῶν τε προβάτων τῶν Εὐβοϊκῶν, ὅσα τις ἐθέλοι καταθύειν. κρέσσον γὰρ εἶναι τὴν στρατιὴν ἔχειν, ἢ τοὺς πολεμίους. παραίνεέ τε προειπεῖν τοῖσι ἑωυτῶν ἑκάστους πῦρ ἀνακαίειν. κομιδῆς δὲ πέρι, τὴν ὥρην αὐτῷ μελήσειν, ὥστε ἀσινέας ἀπικέσθαι ἐπὶ τὴν Ἑλλάδα. ταῦτα ἤρεσέ σφι ποιέειν, καὶ αὐτίκα πῦρ ἀνακαυσάμενοι, ἐτράποντο πρὸς τὰ πρόβατα. οἱ γὰρ Εὐβοέες παραχρησάμενοι τὸν Βάκιδος χρησμὸν ὡς οὐδὲν λέγοντα, ὅτ' ἐξεκομίσαντο οὐδὲν, οὔτε προεσάξαντο ὡς παρεσομένου σφι πολέμου. περιπετέα τε ἐποιήσαντο σφίσι αὐτοῖσι τὰ πρήγματα. Βάκιδι γὰρ ὧδε ἔχει περὶ τούτων ὁ χρησμός·

Φράζεο βαρβαρόφωνον ὅταν ζυγὸν εἰς ἅλα βάλλῃ
βύβλινον, Εὐβοίης ἀπέχειν πολυμηκάδας αἶγας.

Τούτοισι δὲ οὐδὲν τοῖσι ἔπεσι χρησαμένοισι ἐν τοῖσι τότε παρεοῦσί τε καὶ προσδοκίμοισι κακοῖσι, παρῆν σφι συμφορῇ χρᾶσθαι πρὸς τὰ μέγιστα. οἱ μὲν δὴ ταῦτα ἔπρησσον. παρῆν δὲ ὁ ἐκ Τρηχῖνος κατάσκοπος. ἦν μὲν γὰρ ἐπ' Ἀρτεμισίῳ κατάσκοπος Πολύας, γένος Ἀντικυρεύς, τῷ προσετέτακτο, καὶ εἶχε πλοῖον κατῆρες ἑτοῖμον, εἰ παλήσειε ὁ ναυτικὸς στρατὸς, σημαίνειν τοῖσι ἐν Θερμοπύλῃσι ἐοῦσι. ὡς δ' αὕτως ἦν Ἀβρώνυχος ὁ Λυσικλέος Ἀθηναῖος, καὶ παρὰ Λεωνίδῃ ἕτοιμος, τοῖσι ἐπ' Ἀρτεμισίῳ ἐοῦσι ἀγγέλλειν τριηκοντέρῳ, ἤν τι καταλαμβάνῃ νεώτερον τὸν πεζόν. οὗτος ὦν ὁ Ἀβρώνυχος ἀπικόμενος, ἐσήμαινέ σφι τὰ γεγονότα περὶ Λεωνίδεα καὶ τὸν στρατὸν αὐτοῦ. οἱ δὲ ὡς ἐπύθοντο ταῦτα, οὐκέτι ἐς ἀναβολὰς ἐποιέοντο τὴν ἀποχώρησιν. ἐκομίζοντο δὲ ὡς ἕκαστοι ἐτάχθησαν, Κορίνθιοι πρῶτοι, ὕστατοι δὲ Ἀθηναῖοι. Ἀθηναίων δὲ νέας τὰς ἄριστα πλωούσας ἐπιλεξάμενος Θεμιστοκλέης, ἐπορεύετο περὶ τὰ πότιμα ὕδατα, ἐντάμνων ἐν τοῖσι λίθοισι γράμματα, τὰ Ἴωνες ἐπελθόντες τῇ ὑστεραίῃ ἡμέρῃ ἐπὶ τὸ Ἀρτεμίσιον, ἐπελέξαντο. τὰ δὲ γράμματα τάδε ἔλεγε. Ἄνδρες Ἴωνες, οὐ ποιέετε δίκαια ἐπὶ τοὺς πατέρας στρατευόμενοι, καὶ τὴν Ἑλλάδα καταδουλούμενοι, ἀλλὰ μάλιστα μὲν πρὸς ἡμέων γίνεσθε. εἰ δὲ ὑμῖν ἐστι τοῦτο μὴ δυνατὸν ποιῆσαι, ὑμεῖς δὲ ἔτι καὶ νῦν ἐκ τοῦ μέσου ἡμῖν ἕζεσθε καὶ αὐτοὶ, καὶ τῶν Καρῶν δέεσθε τὰ αὐτὰ ὑμῖν ποιέειν. εἰ δὲ μηδέτερον τούτων οἷόν τε γίνεσθαι, ἀλλ' ὑπ' ἀναγκαίης μέζονος κατέζευχθε, ἢ ὥστε ἀπίστασθαι, ὑμεῖς γε ἐν τῷ ἔργῳ ἐπεὰν συμμίσγωμεν, ἐθελοκακέετε, μεμνημένοι ὅτι ἀπ' ἡμέων γεγόνατε, καὶ ὅτι ἀρχῆθεν ἡ ἔχθρη πρὸς τὸν βάρβαρον, ἀπ' ὑμέων ἡμῖν γέγονε. Θεμιστοκλέης δὲ ταῦτα ἔγραφε, δοκέειν ἐμοὶ ἐπ' ἀμφότερα νοέων, ἵνα ἢ λαθόντα τὰ γράμματα βασιλῆα, Ἴωνας ποιήσῃ μεταβαλεῖν καὶ γενέσθαι πρὸς ἑωυτῶν. ἢ ἐπείτε ἀνενειχθῇ, καὶ διαβληθῇ πρὸς Ξέρξεα, ἀπίστους ποιήσῃ τοὺς Ἴωνας, καὶ τῶν συμμαχιέων αὐτοὺς ἀπόσχῃ. Θεμιστοκλέης μὲν νυν ταῦτα ἐνέγραψε. τοῖσι δὲ βαρβάροισι αὐτίκα μετὰ ταῦτα πλοίῳ ἦλθε ἀνὴρ Ἱστιαιεὺς, ἀγγέλλων τὸν δρησμὸν τὸν ἀπ' Ἀρτεμισίου τῶν Ἑλλήνων. οἱ δ' ὑπ' ἀπιστίης, τὸν μὲν ἀγγέλλοντα εἶχον ἐν φυλακῇ. νέας δὲ ταχέας ἀπέστειλαν προκατοψομένας. ἀπαγγειλάντων δὲ τούτων τὰ ἦν, οὕτω δὴ ἅμ' ἡλίῳ σκιδναμένῳ, πᾶσα ἡ στρατιὴ ἔπλωε ἁλὴς ἐπὶ τὸ Ἀρτεμίσιον. ἐπισχόντες δὲ ἐν τούτῳ τῷ χώρῳ μέχρι μέσου ἡμέρης, τὸ ἀπὸ τούτου ἔπλωον ἐς Ἱστιαίην, ἀπικόμενοι δὲ τὴν πόλιν ἔσχον τῶν Ἱστιαιέων, καὶ τῆς Ἑλλοπίης μοίρης. γῆς δὲ τῆς Ἱστιαιώτιδος τὰς παραθαλασσίας κώμας

πάσης ἐπέδραμον. ἐνθαῦτα δὲ τουτέων ἐόντων, Ξέρξης ἑτοιμασάμενος τὰ περὶ τοὺς νεκροὺς, ἔπεμπε ἐς τὸν ναυτικὸν στρατὸν κήρυκα. προετοιμάσατο δὲ τάδε. ὅσοι τοῦ στρατοῦ τοῦ ἑωυτοῦ ἦσαν νεκροὶ ἐν Θερμοπύλῃσι, ἦσαν δὲ καὶ δύο μυριάδες, ὑπολιπόμενος τούτων ὡς χιλίους, τοὺς λοιποὺς τάφρους ὀρυξάμενος ἔθαψε, φυλλάδα τε ἐπιβαλὼν, καὶ γῆν ἐπαμησάμενος, ἵνα μὴ ὀφθείησαν ὑπὸ τοῦ ναυτικοῦ στρατοῦ. ὡς δὲ διέβη ἐς τὴν Ἱστιαίην ὁ κῆρυξ, σύλλογον ποιησάμενος παντὸς τοῦ στρατοπέδου, ἔλεγε τάδε· Ἄνδρες σύμμαχοι, βασιλεὺς Ξέρξης τῷ βουλομένῳ ὑμέων παραδίδωσι ἐκλιπόντα τὴν τάξιν, καὶ ἐλθόντα θεήσασθαι ὅκως μάχεται πρὸς τοὺς ἀνοήτους τῶν ἀνθρώπων, οἳ ἤλπισαν τὴν βασιλέος δύναμιν ὑπερβαλέεσθαι. Ταῦτα ἐπαγγειλαμένου, μετὰ ταῦτα οὐδὲν ἐγίνετο πλοίων σπανιώτερον. οὕτω πολλοὶ ἤθελον θεήσασθαι. διαπεραιωθέντες δὲ ἐθηεῦντο διεξιόντες τοὺς νεκρούς. πάντες δὲ ἠπιστέατο τοὺς κειμένους εἶναι πάντας Λακεδαιμονίους καὶ Θεσπιέας, ὁρέοντες καὶ τοὺς εἵλωτας. οὐ μὲν, οὐδ' ἐλάνθανε τοὺς διαβεβηκότας Ξέρξης ταῦτα πρήξας περὶ τοὺς νεκροὺς τοὺς ἑωυτοῦ, καὶ γὰρ δὴ καὶ γελοῖον ἦν, τῶν μὲν χίλιοι ἐφαίνοντο νεκροὶ κείμενοι, οἳ δὲ πάντες ἐκέατο ἁλέες συγκεκομισμένοι ἐς τωὐτὸ χωρίον τέσσερες χιλιάδες. ταύτην μὲν τὴν ἡμέρην πρὸς θέην ἐτράποντο, τῇ δ' ὑστεραίῃ, οἱ μὲν ἀπέπλωον ἐς Ἱστιαίην ἐπὶ τὰς νῆας, οἱ δὲ ἀμφὶ Ξέρξην ἐς ὁδὸν ὡρμέατο. ἧκον δέ σφι αὐτόμολοι ἄνδρες ἀπ' Ἀρκαδίης ὀλίγοι τινὲς, βίου τε δεόμενοι, καὶ ἐνεργοὶ βουλόμενοι εἶναι. ἀγαγόντες δὲ τούτους ἐς ὄψιν τὴν βασιλέος, ἐπυνθάνοντο οἱ Πέρσαι περὶ τῶν Ἑλλήνων, τὰ ποιέοιεν. εἷς δέ τις πρὸ πάντων ἦν ὁ εἰρωτῶν αὐτοὺς ταῦτα. οἱ δέ σφι ἔλεγον, ὡς Ὀλύμπια ἄγοιεν, καὶ θεωρέοιεν ἀγῶνα γυμνικὸν, καὶ ἱππικόν. ὁ δὲ ἐπείρετο ὅ, τι τὸ ἄεθλον εἴη σφι προκείμενον, περὶ ὅτευ ἀγωνίζονται. οἱ δ' εἶπον, τῆς ἐλαίης τὸν διδόμενον στέφανον. ἐνθαῦτα εἴπας γνώμην γενναιοτάτην Τιγράνης ὁ Ἀρταβάνου, δειλίην ὦφλε πρὸς βασιλέος. πυνθανόμενος γὰρ τὸ ἄεθλον ἐὸν στέφανον, ἀλλ' οὐ χρήματα, οὔτε ἠνέσχετο σιγῶν, εἶπέ τε πρὸς πάντας τάδε. παπαὶ Μαρδόνιε, κοίους ἐπ' ἄνδρας ἤγαγες μαχησομένους ἡμέας, οἳ οὐ περὶ χρημάτων τὸν ἀγῶνα ποιεῦνται, ἀλλὰ περὶ ἀρετῆς; τούτῳ μὲν δὴ ταῦτα εἴρητο. ἐν δὲ τῷ διὰ μέσου χρόνῳ, ἐπείτε τὸ ἐν Θερμοπύλῃσι τρῶμα ἐγεγόνεε, αὐτίκα Θεσσαλοὶ πέμπουσι κήρυκα ἐς Φωκέας, ἅτε σφι ἔχοντες αἰεὶ χόλον. ἀπὸ δὲ τοῦ ὑστάτου τρώματος καὶ τὸ κάρτα. ἐσβαλόντες γὰρ πανστρατιῇ αὐτοί τε οἱ Θεσσαλοὶ καὶ οἱ σύμμαχοι αὐτέων ἐς τοὺς Φωκέας, οὐ πολλοῖσι ἔτεσι πρότερον ταύτης τῆς βασιλέος στρατηλασίης, ἑσσώθησαν ὑπὸ τῶν Φωκέων, καὶ περιέφθησαν τρηχέως. ἐπείτε γὰρ κατειλήθησαν ἐς τὸν Παρνησσὸν οἱ Φωκέες ἔχοντες μάντιν Τελλίην τὸν Ἠλεῖον, ἐνθαῦτα ὁ Τελλίης οὗτος σοφίζεται αὐτοῖσι τοιόνδε. γυψώσας ἄνδρας ἑξακοσίους τῶν Φωκέων τοὺς ἀρίστους, αὐτούς τε τούτους καὶ τὰ ὅπλα αὐτέων, νυκτὸς ἐπεθήκατο τοῖσι Θεσσαλοῖσι, προείπας αὐτοῖσι, τὸν ἂν μὴ λευκανθίζοντα ἴδωνται, τοῦτον κτείνειν. τούτους ὦν αἵ τε φυλακαὶ τῶν Θεσσαλῶν πρῶται ἰδοῦσαι ἐφοβήθησαν, δόξασαι ἄλλο τι εἶναι τέρας. καὶ μετὰ τὰς φυλακὰς αὐτὴ ἡ στρατιὴ οὕτω, ὥστε τετρακισχιλίων κρατῆσαι νεκρῶν, καὶ ἀσπίδων Φωκέας, τῶν τὰς μὲν ἡμισέας ἐς Ἄβας ἀνέθεσαν, τὰς δὲ λοιπὰς ἐς Δελφούς. ἡ δὲ δεκάτη ἐγένετο τῶν χρημάτων ἐκ ταύτης τῆς μάχης, οἱ μεγάλοι ἀνδριάντες οἱ περὶ τὸν τρίποδα συνεστεῶτες ἔμπροσθε τοῦ νηοῦ τοῦ ἐν Δελφοῖσι, καὶ ἕτεροι τοιοῦτοι ἐν Ἄβῃσι ἀνακέαται. ταῦτα μέν νυν τὸν πεζὸν ἐργάσαντο τῶν Θεσσαλῶν οἱ Φωκέες, πολιορκέοντας ἑωυτούς, ἐσβαλοῦσαν δὲ ἐς τὴν χώρην τὴν ἵππον αὐτέων, ἐλυμήναντο ἀνηκέστως. ἐν γὰρ τῇ ἐσβολῇ ἥ ἐστι κατὰ Ὑάμπολιν, ἐν ταύτῃ τάφρον μεγάλην ὀρύξαντες, ἀμφορέας κενεοὺς ἐς ταύτην κατέθηκαν. χοῦν δὲ ἐπιφορήσαντες, καὶ ὁμοιώσαντες τῷ ἄλλῳ χώρῳ, ἐδέκοντο τοὺς Θεσσαλοὺς ἐσβάλλοντας. οἱ δὲ ὡς ἀναρπασόμενοι τοὺς Φωκέας, φερόμενοι ἐσέπεσον ἐς τοὺς ἀμφορέας. ἐνθαῦτα οἱ ἵπποι τὰ σκέλεα διεφθάρησαν. τούτων δή σφι ἀμφοτέρων ἔχοντες ἔγκοτον οἱ Θεσσαλοὶ, πέμψαντες κήρυκα, ἠγόρευον τάδε· ὦ Φωκέες, ἤδη τι μᾶλλον γνωσιμαχέετε μὴ εἶναι ὅμοιοι ἡμῖν. πρόσθε τε γὰρ ἐν τοῖσι Ἕλλησι ὅσον χρόνον ἐκεῖνα ἡμῖν ἥνδανε, πλέον αἰεί κοτε ὑμέων ἐφερόμεθα. νῦν τε παρὰ τῷ βαρβάρῳ τοσοῦτον δυνάμεθα, ὥστε ἐπ' ἡμῖν εἶναι τῆς γῆς ἐστερῆσθαι, καὶ προσηνδραποδίσθαι ὑμέας. ἡμεῖς μέντοι τὸ πᾶν ἔχοντες, οὐ μνησικακέομεν, ἀλλ' ἡμῖν γενέσθω ἀντ'

αὐτέων

αὐτέων πεντήκοντα τάλαντα ἀργυρείου, καὶ ὑμῖν ὑποδεκόμεθα τὰ ἐπιόντα ἐπὶ τὴν χώρην ἀποτρέψαι. ταῦτά σφι ἐπαγγέλλοντο οἱ Θεσσαλοί. οἱ γὰρ Φωκέες μοῦνοι τῶν ταύτῃ ἀνθρώπων οὐκ ἐμήδιζον, κατ᾽ ἄλλο μὲν οὐδὲν ὡς ἐγὼ συμβαλλεόμενος εὑρίσκω, κατὰ δὲ τὸ ἔχθος τὸ Θεσσαλῶν. εἰ δὲ Θεσσαλοὶ τὰ Ἑλλήνων ηὖξον, ὡς ἐμοὶ δοκέειν ἐμήδιζον ἂν οἱ Φωκέες. ταῦτα ἐπαγγελλομένων Θεσσαλῶν, οὔτε δώσειν ἔφασαν χρήματα, παρέχειν τέ σφι Θεσσαλοῖσι ὁμοίως μηδίζειν, εἰ ἄλλως βουλοίατο. ἀλλ᾽ οὐκ ἔσεσθαι ἑκόντες εἶναι προδόται τῆς Ἑλλάδος. ἐπειδὴ δὲ ἀνηνείχθησαν οὗτοι οἱ λόγοι, οὕτω δὴ οἱ Θεσσαλοὶ κεχολωμένοι τοῖσι Φωκεῦσι ἐγένοντο ἡγεμόνες τῷ βαρβάρῳ τῆς ὁδοῦ. ἐκ μὲν δὴ τῆς Τρηχινίης, ἐς τὴν Δωρίδα ἐσέβαλον. τῆς γὰρ Δωρίδος χώρης ποδεὼν στεινὸς ταύτῃ κατατείνει, ὡς τριήκοντα σταδίων μάλιστά κῃ εὖρος, κείμενος μεταξὺ τῆς τε Μηλιάδος, καὶ τῆς Φωκίδος χώρης, ἥπερ ἦν τὸ παλαιὸν Δρυοπίς. ἡ δὲ χώρη αὕτη ἐστὶ μητρόπολις Δωριέων τῶν ἐν Πελοποννήσῳ. ταύτην ὦν τὴν Δωρίδα γῆν οὐκ ἐσίναντο ἐσβαλόντες οἱ βάρβαροι. ἐμήδιζόν τε γάρ, καὶ οὐκ ἐδόκεε Θεσσαλοῖσι. ὡς δὲ ἐκ τῆς Δωρίδος ἐς τὴν Φωκίδα ἐσέβαλον, αὐτοὺς μὲν τοὺς Φωκέας οὐκ αἱρέουσι. οἱ μὲν γὰρ τῶν Φωκέων, ἐς τὰ ἄκρα τοῦ Παρνησοῦ ἀνέβησαν. ἔστι δὲ καὶ ἐπιτηδέη δέξασθαι ὅμιλον τοῦ Παρνησοῦ ἡ κορυφή, κατὰ Νέωνα πόλιν, κειμένη ἐπ᾽ ἑωυτῆς· Τιθορέα οὔνομα αὐτῇ. ἐς τὴν δὴ ἀνηνείκαντο, καὶ αὐτοὶ ἀνέβησαν. οἱ δὲ πλεῦνες αὐτέων, ἐς τοὺς Ὀζόλας Λοκροὺς ἐξεκομίσαντο ἐς Ἄμφισσαν πόλιν, τὴν ὑπὲρ τοῦ Κρισαίου πεδίου οἰκεομένην. οἱ δὲ βάρβαροι τὴν χώρην πᾶσαν ἐπέδραμον τὴν Φωκίδα. Θεσσαλοὶ γὰρ οὕτω ἦγον τὸν στρατόν. ὁκόσα δὲ ἐπέσχον, πάντα ἐπέφλεγον, καὶ ἔκειρον, καὶ ἐς τὰς πόλις ἐνιέντες πῦρ, καὶ ἐς τὰ ἱρά. πορευόμενοι γὰρ ταύτῃ παρὰ τὸν Κηφισὸν ποταμόν, ἐδήιουν πάντα. καὶ κατὰ μὲν ἔκαυσαν Δρυμὸν πόλιν. κατὰ δὲ Χαράδραν, καὶ Ἔρωχον, καὶ Τεθρώνιον, καὶ Ἀμφίκαιαν, καὶ Νέωνα, καὶ Πεδιέας, καὶ Τριτέας, καὶ Ἐλάτειαν, καὶ Ὑάμπολιν, καὶ Παραποταμίους, καὶ Ἄβας, ἔνθα ἦν ἱρὸν Ἀπόλλωνος πλούσιον, θησαυροῖσί τε καὶ ἀναθήμασι πολλοῖσι κατεσκευασμένον. ἦν δέ τι καὶ τότε, καὶ νῦν ἔστι χρηστήριον αὐτόθι. καὶ τοῦτο τὸ ἱρὸν συλήσαντες ἐνέπρησαν. καί τινας διώκοντες εἷλον τῶν Φωκέων πρὸς τοῖσι ὄρεσι. καὶ γυναῖκάς τινας διέφθειραν μισγόμενοι ὑπὸ πλήθεος. Παραποταμίους δὲ παραμειβόμενοι οἱ βάρβαροι, ἀπίκοντο ἐς Πανοπέας. ἐνθεῦτεν δὲ ἤδη διακρινομένη ἡ στρατιὴ αὐτέων ἐσχίζετο. τὸ μὲν πλεῖστον καὶ δυνατώτατον τοῦ στρατοῦ, ἅμα αὐτῷ Ξέρξῃ πορευόμενον ἐπ᾽ Ἀθήνας, ἐσέβαλε ἐς Βοιωτοὺς ἐς γῆν τὴν Ὀρχομενίων. Βοιωτῶν δὲ πᾶν τὸ πλῆθος ἐμήδιζε. τὰς δὲ πόλις αὐτέων ἄνδρες Μακεδόνες διατεταγμένοι, ἔσωζον ὑπὸ Ἀλεξάνδρου ἀποπεμφθέντες. ἔσωζον δὲ τῇδε, βουλόμενοι δῆλον ποιέειν Ξέρξῃ, ὅτι τὰ Μήδων Βοιωτοὶ φρονέοιεν. οὗτοι μὲν δὴ τῶν βαρβάρων ταύτῃ ἐτράποντο. ἄλλοι δὲ αὐτέων ἡγεμόνας ἔχοντες, ὁρμέατο ἐπὶ τὸ ἱρὸν τὸ ἐν Δελφοῖσι, ἐν δεξιῇ τὸν Παρνησὸν ἀπέργοντες. ὅσα δὲ καὶ οὗτοι ἐπέσχον τῆς Φωκίδος, πάντα ἐσιναμώρεον. καὶ γὰρ τῶν Πανοπέων τὴν πόλιν ἐνέπρησαν, καὶ Δαυλίων, καὶ Αἰολιδέων. ἐπορεύοντο δὲ ταύτῃ ἀποσχισθέντες τῆς ἄλλης στρατιῆς, τῶνδε εἵνεκα, ὅκως συλήσαντες τὸ ἱρὸν τὸ ἐν Δελφοῖσι, βασιλέϊ Ξέρξῃ ἀποδέξαιεν τὰ χρήματα. πάντα δ᾽ ἠπίστατο τὰ ἐν τῷ ἱρῷ ὅσα λόγου ἦν ἄξια Ξέρξης ὡς ἐγὼ πυνθάνομαι ἄμεινον, ἢ τὰ ἐν τοῖσι οἰκίοισι ἔλιπε, πολλῶν αἰεὶ λεγόντων, καὶ μάλιστα τὰ Κροίσου τοῦ Ἀλυάττεω ἀναθήματα. οἱ Δελφοὶ δὲ πυνθανόμενοι ταῦτα, ἐς πᾶσαν ἀρρωδίην ἀπικέατο. ἐν δείματι δὲ μεγάλῳ κατεστεῶτες, ἐμαντεύοντο περὶ τῶν ἱρῶν χρημάτων, εἴτε σφεας κατὰ γῆς κατορύξουσι, εἴτε ἐκκομίσουσι ἐς ἄλλην χώρην. ὁ δὲ θεός σφεας οὐκ ἔα κινέειν, φὰς αὐτὸς ἱκανὸς εἶναι τῶν ἑωυτοῦ προκατῆσθαι. Δελφοὶ δὲ ταῦτα ἀκούσαντες, σφέων αὐτέων πέρι ἐφρόντιζον. τέκνα μέν νυν καὶ γυναῖκας, πέρην ἐς τὴν Ἀχαιίην διέπεμψαν. αὐτέων δὲ οἱ μὲν πλεῖστοι ἀνέβησαν ἐς τοῦ Παρνησοῦ τὰς κορυφάς, καὶ ἐς τὸ Κωρύκιον ἄντρον ἀνηνείκαντο. οἱ δὲ ἐς Ἄμφισσαν τὴν Λοκρίδα ὑπεξῆλθον. πάντες δὲ ὦν οἱ Δελφοὶ ἐξέλιπον τὴν πόλιν, πλὴν ἑξήκοντα ἀνδρῶν, καὶ τοῦ προφήτεω. ἐπεὶ δὲ ἀγχοῦ τε ἦσαν οἱ βάρβαροι ἐπιόντες, καὶ ἀπώρεον τὸ ἱρόν, ἐν τούτῳ ὁ προφήτης, τῷ οὔνομα ἦν Ἀκήρατος, ὁρᾷ πρὸ τοῦ νηοῦ ὅπλα προκείμενα ἔσωθεν ἐκ τοῦ μεγάρου ἐξενηνειγμένα ἱρά, τῶν οὐκ ὅσιον ἦν ἅπτεσθαι ἀνθρώπων οὐδενί. ὁ μὲν δὴ ἤιε Δελφῶν τοῖσι παρεοῦσι σημανέων τὸ τέρας. οἱ δὲ

βάρβαροι, ἐπεὶ δὴ ἐγίνοντο ἐπειγόμενοι κατὰ τὸ ἱρὸν τῆς Προνηίης Ἀθηναίης, ἐπιγίνεταί σφι τέρεα ἔτι μέζονα τοῦ πρὶν γεγενημένου τέρεος. θῶυμα μὲν γὰρ καὶ τοῦτο κάρτα ἐστὶ, ὅπλα ἀρήια αὐτόματα φανῆναι ἔξω προκείμενα τοῦ νηοῦ. τὰ δὲ δὴ ἐπὶ τούτῳ δεύτερα ἐπιγενόμενα, καὶ διὰ πάντων φασμάτων ἄξια θωυμάσαι μάλιστα. ἐπεὶ γὰρ δὴ ἦσαν ἐπιόντες οἱ βάρβαροι κατὰ τὸ ἱρὸν τῆς Προνηίης Ἀθηναίης, ἐν τούτῳ ἐκ μὲν τοῦ οὐρανοῦ κεραυνοὶ αὐτοῖσι ἐνέπιπτον. ἀπὸ δὲ τοῦ Παρνησσοῦ ἀπορραγεῖσαι δύο κορυφαὶ ἐφέροντο πολλῷ πατάγῳ ἐπ' αὐτοὺς, καὶ κατέλαβον συχνούς σφεων. ἐκ δὲ τοῦ ἱροῦ τῆς Προνηίης, βοή τε καὶ ἀλαλαγμὸς ἐγίνετο. συμμιγέντων δὲ τούτων πάντων, φόβος τοῖσι βαρβάροισι ἐνεπεπτώκεε. μαθόντες δὲ οἱ Δελφοὶ φεύγοντάς σφεας, ἐπικαταβάντες ἀπέκτειναν πλῆθός τι αὐτέων. οἱ δὲ περιεόντες, ἰθὺ Βοιωτῶν ἔφευγον. ἔλεγον δὲ οἱ ἀπονοστήσαντες οὗτοι τῶν βαρβάρων, ὡς ἐγὼ πυνθάνομαι, ὡς πρὸς τούτοισι, καὶ ἄλλα ὥρων θεῖα. δύο γὰρ ὁπλίτας μέζονας ἢ κατὰ ἀνθρώπων φύσιν ἔχοντας, ἕπεσθαί σφι κτείνοντας, καὶ διώκοντας. τοὺς δύο δὲ τούτους Δελφοὶ λέγουσι ἐπιχωρίους ἥρωας εἶναι, Φύλακόν τε καὶ Αὐτόνοον, τῶν τὰ τεμένεά ἐστι περὶ τὸ ἱρόν· Φυλάκου μὲν παρ' αὐτὴν τὴν ὁδὸν κατύπερθε τοῦ ἱροῦ τῆς Προνηίης, Αὐτονόου δὲ πέλας τῆς Κασταλίης, ὑπὸ τῇ Ὑαμπείῃ κορυφῇ. οἱ δὲ πεσόντες ἀπὸ τοῦ Παρνησσοῦ λίθοι, ἔτι καὶ ἐς ἡμέας ἦσαν σῶοι ἐν τῷ τεμένεϊ τῆς Προνηίης Ἀθηναίης κείμενοι, ἐς τὸ ἐνέσκηψαν διὰ τῶν βαρβάρων φερόμενοι. τούτων μέν νυν τῶν ἀνδρῶν, αὕτη ἀπὸ τοῦ ἱροῦ ἀπαλλαγὴ γίνεται. ὁ δὲ Ἑλλήνων ναυτικὸς στρατὸς ἀπὸ τοῦ Ἀρτεμισίου, Ἀθηναίων δεηθέντων, ἐς Σαλαμῖνα κατίσχει τὰς νῆας. τῶνδε δὲ εἵνεκα προσεδεήθησαν αὐτέων σχεῖν πρὸς Σαλαμῖνα Ἀθηναῖοι, ἵνα αὐτοὶ παῖδάς τε καὶ γυναῖκας ὑπεξαγάγωνται ἐκ τῆς Ἀττικῆς, πρὸς δὲ καὶ βουλεύσωνται, τὸ ποιητέον αὐτοῖσι ἔσται. ἐπὶ γὰρ τοῖσι κατήκουσι πρήγμασι, βουλὴν ἔμελλον ποιήσεσθαι ὡς ἐψευσμένοι γνώμης. δοκέοντες γὰρ εὑρήσειν Πελοποννησίους πανδημεὶ ἐν τῇ Βοιωτίῃ ὑποκατημένους τὸν βάρβαρον, τῶν οἱ μὲν εὗρον οὐδὲν ἐόν. οἱ δὲ ἐπυνθάνοντο τὸν Ἰσθμὸν αὐτοὺς τειχέοντας ἐς τὴν Πελοπόννησον, περὶ πλείστου τε ποιευμένους περιεῖναι, καὶ ταύτην ἔχοντας ἐν φυλακῇ, τἆλλα δὲ ἀπιέναι· ταῦτα δὴ πυνθανόμενοι, οὕτω προσεδεήθησάν σφεων σχεῖν πρὸς τὴν Σαλαμῖνα. οἱ μὲν δὴ ἄλλοι κατέσχον ἐς τὴν Σαλαμῖνα, Ἀθηναῖοι δὲ ἐς τὴν ἑωυτῶν. μετὰ δὲ τὴν ἄπιξιν, κήρυγμα ἐποιήσαντο Ἀθηναίων, τῇ τις δύναται σώζειν τὰ τέκνα τε καὶ τοὺς οἰκέτας. ἐνθαῦτα οἱ μὲν πλεῖστοι ἐς Τροιζῆνα ἀπέστειλαν, οἱ δὲ ἐς Αἴγιναν, οἱ δὲ ἐς Σαλαμῖνα. ἔσπευσαν δὴ ταῦτα ὑπεκθέσθαι τῷ χρηστηρίῳ τε πειθόμενοι, καὶ βουλόμενοι ὑπηρετέειν. καὶ δὴ καὶ τούτου εἵνεκα οὐκ ἥκιστα, λέγουσι οἱ Ἀθηναῖοι ὄφιν μέγαν φύλακα τῆς ἀκροπόλιος ἐνδιαιτᾶσθαι ἐν τῷ ἱρῷ. λέγουσί τε ταῦτα, καὶ δὴ ὡς ἐόντι ἐπιμήνια ἐπιτελέουσι προτιθέντες. τὰ δ' ἐπιμήνια, μελιτόεσσά ἐστι. αὕτη δ' ἡ μελιτόεσσα ἐν τῷ πρόσθεν αἰεὶ χρόνῳ ἀναισιμουμένη, τότε ἦν ἄψαυστος. σημηνάσης δὲ ταῦτα τῆς ἱρείης, μᾶλλόν τι οἱ Ἀθηναῖοι καὶ προθυμότερον ἐξέλιπον τὴν πόλιν, ὡς καὶ τῆς θεοῦ ἀπολελοιπυίης τὴν ἀκρόπολιν. ὡς δέ σφι πάντα ὑπεξέκειτο, ἔπλωον ἐς τὸ στρατόπεδον. ἐπεὶ δὲ οἱ ἀπ' Ἀρτεμισίου ἐς Σαλαμῖνα κατέσχον τὰς νέας, συνέρρεε καὶ ὁ λοιπὸς πυνθανόμενος ὁ τῶν Ἑλλήνων ναυτικὸς στρατὸς ἐκ Τροιζῆνος. ἐς γὰρ Πώγωνα τὸν Τροιζηνίων λιμένα προείρητο συλλέγεσθαι. συνελέχθησάν τε δὴ πολλῷ πλεῦνες νέες, ἢ ἐπ' Ἀρτεμισίῳ ἐναυμάχεον, καὶ ἀπὸ πολίων πλεύνων. ναύαρχος μέν νυν ἐπῆν ωὐτὸς, ὥσπερ ἐπ' Ἀρτεμισίῳ, Εὐρυβιάδης ὁ Εὐρυκλείδεω, ἀνὴρ Σπαρτιήτης, οὐ μέντοι γένεός γε τοῦ βασιληίου ἐών. νέας δὲ πολλῷ πλείστας τε καὶ ἄριστα πλωούσας παρείχοντο Ἀθηναῖοι. ἐστρατεύοντο δὲ οἵδε, ἐκ μὲν Πελοποννήσου Λακεδαιμόνιοι, ἑκκαίδεκα νῆας παρεχόμενοι· Κορίνθιοι δὲ τὸ αὐτὸ πλήρωμα παρεχόμενοι, τὸ καὶ ἐπ' Ἀρτεμισίῳ. Σικυώνιοι δὲ πεντεκαίδεκα παρείχοντο νῆας, Ἐπιδαύριοι δὲ δέκα, Τροιζήνιοι δὲ πέντε, Ἑρμιονέες δὲ τρεῖς. ἐόντες οὗτοι, πλὴν Ἑρμιονέων, Δωρικόν τε καὶ Μακεδνικὸν ἔθνος, ἐξ Ἐρινεοῦ τε καὶ Πίνδου, καὶ τῆς Δρυοπίδος ὕστατα ὁρμηθέντες. οἱ δὲ Ἑρμιονέες εἰσὶ Δρύοπες, ὑπὸ Ἡρακλέος τε καὶ Μηλιέων, ἐκ τῆς νῦν Δωρίδος καλεομένης χώρης ἐξαναστάντες. οὗτοι μέν νυν Πελοποννησίων ἐστρατεύοντο. οἱ δὲ ἐκ τῆς ἔξω ἠπείρου, Ἀθηναῖοι μὲν πρὸς πάντας τοὺς ἄλλους παρεχόμενοι νῆας ὀγδώκοντα καὶ ἑκατὸν μοῦνοι. ἐν Σαλαμῖνι γὰρ οὐ συνεναυμάχησαν Πλαταιέες Ἀθηναίοισι, διὰ

τοιόνδε

τιόνδε τι πρῆγμα. ἀπαλλασσομένων τῶν Ἑλλήνων ἀπὸ τοῦ Ἀρτεμισίου, ὡς ἐγίνοντο κατὰ Χαλκίδα, οἱ Πλαταιέες ἀποβάντες ἐς τὴν περαίην τῆς Βοιωτίης χώρης, πρὸς ἐκκομιδὴν ἐτράποντο τῶν οἰκετέων. οὗτοι μὲν νῦν τούτους σώζοντες, ἐλείφθησαν. Ἀθηναῖοι δὲ ἐπὶ μὲν Πελασγῶν ἐχόντων τὴν νῦν Ἑλλάδα καλεομένην, ἦσαν Πελασγοί, ὀνομαζόμενοι Κραναοί. ἐπὶ δὲ Κέκροπος βασιλέος ἐπεκλήθησαν Κεκροπίδαι. ἐκδεξαμένου δὲ Ἐρεχθέος τὴν ἀρχήν, Ἀθηναῖοι μετωνομάσθησαν. Ἴωνος δὲ τοῦ Ξούθου στρατάρχεω γενομένου Ἀθηναίοισι, ἐκλήθησαν ἀπὸ τούτου Ἴωνες. Μεγαρέες δὲ τὠυτὸ πλήρωμα παρέχοντο, τὸ καὶ ἐπ᾽ Ἀρτεμισίῳ. Ἀμπρακιῶται δὲ ἑπτὰ νέας ἔχοντες, ἐπεβοήθησαν. Λευκάδιοι δὲ τρεῖς, ἔθνος ἐόντες οὗτοι Δωρικὸν ἀπὸ Κορίνθου. νησιωτέων δὲ Αἰγινῆται τριήκοντα παρέχοντο. ἦσαν μέν σφι καὶ ἄλλαι πεπληρωμέναι νέες· ἀλλὰ τῇσι μὲν τὴν ἑωυτῶν ἐφύλασσον, τριήκοντα δὲ τῇσι ἀρίστα πλεούσῃσι ἐν Σαλαμῖνι ἐναυμάχησαν. Αἰγινῆται δέ εἰσι Δωριέες, ἀπὸ Ἐπιδαύρου. τῇ δὲ νήσῳ πρότερον οὔνομα ἦν Οἰνώνη. μετὰ δὲ Αἰγινήτας, Χαλκιδέες τὰς ἐπ᾽ Ἀρτεμισίῳ εἴκοσι παρεχόμενοι, καὶ Ἐρετριέες τὰς ἑπτά. οὗτοι δὲ Ἴωνές εἰσι. μετὰ δὲ Κήιοι τὰς αὐτὰς παρεχόμενοι, ἔθνος ἐὸν Ἰωνικὸν ἀπὸ Ἀθηναίων. Νάξιοι δὲ παρέχοντο τέσσερας, ἀποπεμφθέντες μὲν ἐς τοὺς Μήδους ὑπὸ τῶν πολιητέων κατά περ οἱ ἄλλοι νησιῶται. ἀλογήσαντες δὲ τῶν ἐντολέων, ἀπίκατο ἐς τοὺς Ἕλληνας, Δημοκρίτου σπεύσαντος, ἀνδρὸς τῶν ἀστῶν δοκίμου, καὶ τότε τριηραρχέοντος. Νάξιοι δέ εἰσι Ἴωνες ἀπ᾽ Ἀθηναίων γεγονότες. Στυρέες δὲ τὰς αὐτὰς παρέχοντο νέας, τάς περ ἐπ᾽ Ἀρτεμισίῳ. Κύθνιοι δὲ μίαν καὶ πεντηκόντερον, ἐόντες συναμφότεροι οὗτοι Δρύοπες, καὶ Σερίφιοί τε καὶ Σίφνιοι καὶ Μήλιοι ἐστρατεύοντο. οὗτοι γὰρ οὐκ ἔδοσαν μοῦνοι νησιωτέων τῷ βαρβάρῳ γῆν τε καὶ ὕδωρ. οὗτοι μὲν ἅπαντες ἐντὸς οἰκημένοι Θεσπρωτῶν καὶ Ἀχέροντος ποταμοῦ, ἐστρατεύοντο. Θεσπρωτοὶ γάρ εἰσι οἱ ὁμουρέοντες Ἀμπρακιώτῃσι καὶ Λευκαδίοισι, οἳ ἐξ ἐσχατέων χωρέων ἐστρατεύοντο. τῶν δὲ ἐκτὸς τούτων οἰκημένων, Κροτωνιῆται μοῦνοι ἦσαν οἱ βοηθήσαντες τῇ Ἑλλάδι κινδυνευούσῃ, νηὶ μιῇ, τῆς ἦρχε ἀνὴρ τρὶς πυθιονίκης, Φάυλλος. Κροτωνιῆται δὲ γένος εἰσὶ Ἀχαιοί. οἱ μὲν νῦν ἄλλοι τριήρεας παρεχόμενοι ἐστρατεύοντο. Μήλιοι δὲ καὶ Σίφνιοι, καὶ Σερίφιοι πεντηκοντέρους, Μήλιοι μὲν γένος ἐόντες ἀπὸ Λακεδαίμονος, δύο παρέχοντο. Σίφνιοι δὲ καὶ Σερίφιοι Ἴωνες ἐόντες ἀπ᾽ Ἀθηναίων, μίαν ἑκάτεροι. ἀριθμὸς δὲ ἐγένετο ὁ πᾶς τῶν νεῶν, πάρεξ τῶν πεντηκοντέρων, τριηκόσιαι καὶ ἑβδομήκοντα καὶ ὀκτώ. ὡς δὲ ἐς τὴν Σαλαμῖνα συνῆλθον οἱ στρατηγοὶ ἀπὸ τῶν εἰρημένων πολίων, ἐβουλεύοντο προθέντος Εὐρυβιάδεω γνώμην ἀποφαίνεσθαι τὸν βουλόμενον, ὅκου δοκέοι ἐπιτηδεότατον εἶναι ναυμαχίην ποιέεσθαι, τῶν αὐτοὶ χωρέων ἐγκρατέες εἰσί. ἡ γὰρ Ἀττικὴ ἀπεῖτο ἤδη, τῶν δὲ λοιπέων πέρι προετίθεε. αἱ γνῶμαι δὲ τῶν λεγόντων αἱ πλεῖσται συνεξέπιπτον, πρὸς τὸν Ἰσθμὸν πλώσαντας ναυμαχέειν πρὸ τῆς Πελοποννήσου, ἐπιλέγοντες τὸν λόγον τόνδε, ὡς ἢν νικηθέωσι τῇ ναυμαχίῃ, ἐν Σαλαμῖνι μὲν ἐόντες, πολιορκήσονται ἐν νήσῳ, ἵνα σφι τιμωρίη οὐδεμία ἐπιφανήσεται. πρὸς δὲ τῷ Ἰσθμῷ, ἐς τοὺς ἑωυτῶν ἐξοίσονται. ταῦτα τῶν ἀπὸ Πελοποννήσου στρατηγῶν ἐπιλεγομένων, ἐληλύθεε ἀνὴρ Ἀθηναῖος, ἀγγέλλων ἥκειν τὸν βάρβαρον ἐς τὴν Ἀττικήν, καὶ πᾶσαν αὐτὴν πυρπολέεσθαι. ὁ γὰρ διὰ Βοιωτῶν τραπόμενος στρατὸς ἅμα Ξέρξῃ, ἐμπρήσας Θεσπιέων τὴν πόλιν αὐτῶν ἐκλελοιπότων ἐς Πελοπόννησον, καὶ τὴν Πλαταιέων ὡσαύτως, ἧκέ τε ἐς τὰς Ἀθήνας, καὶ πάντα ἐκεῖνα ἐδήιου. ἐνέπρησε δὲ Θέσπειάν τε καὶ Πλάταιαν, πυθόμενος Θηβαίων, ὅτι οὐκ ἐμήδιζον. ἀπὸ δὲ τῆς διαβάσιος τοῦ Ἑλλησπόντου, ἔνθεν πορεύεσθαι ἤρξαντο οἱ βάρβαροι, ἕνα αὐτοῦ διατρίψαντες μῆνα, ἐν τῷ διέβαινον ἐς τὴν Εὐρώπην, ἐν τρισὶ ἑτέροισι μησὶ ἐγένοντο ἐν τῇ Ἀττικῇ, Καλλιάδεω ἄρχοντος Ἀθηναίοισι. καὶ αἱρέουσι ἔρημον τὸ ἄστυ, καί τινας ὀλίγους εὑρίσκουσι τῶν Ἀθηναίων ἐν τῷ ἱρῷ ἐόντας, ταμίας τε τοῦ ἱροῦ, καὶ πένητας ἀνθρώπους. οἱ φραξάμενοι τὴν ἀκρόπολιν θύρῃσί τε καὶ ξύλοισι, ἠμύνοντο τοὺς ἐπιόντας, ἅμα μὲν ὑπ᾽ ἀσθενείης βίου οὐκ ἐκχωρήσαντες ἐς Σαλαμῖνα. πρὸς δὲ αὐτοὶ δοκέοντες ἐξευρηκέναι τὸ μαντήιον, τὸ ἡ Πυθίη σφι ἔχρησε, τὸ ξύλινον τεῖχος ἀνάλωτον ἔσεσθαι, καὶ αὐτὸ δὴ τοῦτο εἶναι τὸ κρησφύγετον κατὰ τὸ μαντήιον, καὶ οὐ τὰς νέας. οἱ δὲ Πέρσαι ἱζόμενοι ἐπὶ τὸν καταντίον τῆς ἀκροπόλιος ὄχθον, τὸν Ἀθηναῖοι καλέουσι Ἀρήιον πάγον, ἐπολιόρκεον τρόπον

τιόνδε, ὅκως στυππεῖον περὶ τοὺς ὀϊστοὺς περιθέντες ἅψειαν, ἐτόξευον ἐς τὸ φράγμα. ἐνθαῦτα Ἀθηναίων οἱ πολιορκεόμενοι, ὅμως ἠμύνοντο, καίπερ ἐς τὸ ἔσχατον τοῦ κακοῦ ἀπιγμένοι, καὶ τοῦ φράγματος προδεδωκότος, οὐδὲ λόγους τῶν Πεισιστρατιδέων προσφερόντων περὶ ὁμολογίης ἐνεδέκοντο, ἀμυνόμενοι δὲ ἄλλα τε ἀντεμηχανέοντο, καὶ δὴ καὶ προσιόντων τῶν βαρβάρων πρὸς τὰς πύλας, ὀλοιτρόχους ἀπίεσαν, ὥστε Ξέρξεα ἐπὶ χρόνον συχνὸν ἀπορίῃσι ἐνέχεσθαι, οὐ δυνάμενόν σφεας ἑλεῖν· χρόνῳ δ' ἐκ τῶν ἀπόρων ἐφάνη δή τις ἔσοδος τοῖσι βαρβάροισι. ἔδεε γὰρ κατὰ τὸ θεοπρόπιον πᾶσαν τὴν Ἀττικὴν τὴν ἐν τῇ ἠπείρῳ, γενέσθαι ὑπὸ Πέρσῃσι. ἔμπροσθεν ὦν πρὸ τῆς ἀκροπόλιος, ὄπισθεν δὲ τῶν πυλέων, καὶ τῆς ἀνόδου, τῇ δὴ οὔτε τις ἐφύλασσε, οὔτ' ἂν ἤλπισε μή κοτέ τις κατὰ ταῦτα ἀναβαίη ἀνθρώπων, ταύτῃ ἀνέβησάν τινες κατὰ τὸ ἱρὸν τῆς Κέκροπος θυγατρὸς Ἀγλαύρου, καίτοιπερ ἀποκρήμνου ἐόντος τοῦ χώρου. ὡς δὲ εἶδον αὐτοὺς ἀναβεβηκότας οἱ Ἀθηναῖοι ἐπὶ τὴν ἀκρόπολιν, οἱ μὲν ἐρρίπτεον ἑωυτοὺς κατὰ τοῦ τείχεος κάτω, καὶ διεφθείροντο. οἱ δὲ ἐς τὸ μέγαρον κατέφευγον. τῶν δὲ Περσέων οἱ ἀναβεβηκότες, πρῶτον μὲν ἐτράποντο πρὸς τὰς πύλας. ταύτας δὲ ἀνοίξαντες, τοὺς ἱκέτας ἐφόνευον. ἐπεὶ δέ σφι πάντες κατέστρωντο, τὸ ἱρὸν συλήσαντες ἐνέπρησαν πᾶσαν τὴν ἀκρόπολιν. σχὼν δὲ παντελέως τὰς Ἀθήνας Ξέρξης, ἀπέπεμψε ἐς Σοῦσα ἄγγελον ἱππέα, Ἀρταβάνῳ ἀγγελέοντα τὴν παρεοῦσάν σφι εὐπρηξίην. ἀπὸ δὲ τῆς πέμψιος τοῦ κήρυκος δευτέρῃ ἡμέρῃ, συγκαλέσας Ἀθηναίων τοὺς φυγάδας, ἑωυτῷ δὲ ἑπομένους, ἐκέλευε τρόπῳ τῷ σφετέρῳ θῦσαι τὰ ἱρὰ ἀναβάντας ἐς τὴν ἀκρόπολιν, εἴτε δὴ ὦν ὄψιν τινὰ ἰδὼν ἐνυπνίου ἐνετέλλετο ταῦτα, εἴτε καὶ ἐνθύμιόν οἱ ἐγένετο ἐμπρήσαντι τὸ ἱρόν. οἱ δὲ φυγάδες τῶν Ἀθηναίων ἐποίησαν τὰ ἐντεταλμένα. τοῦ δὲ εἵνεκεν τούτων ἐπεμνήσθην, φράσω. ἔστι ἐν τῇ ἀκροπόλι ταύτῃ Ἐρεχθέος τοῦ γηγενέος λεγομένου εἶναι, νηὸς ἐν τῷ ἐλαίη τε καὶ θάλασσα ἔνι, τὰ λόγος παρὰ Ἀθηναίων Ποσειδέωνά τε καὶ Ἀθηναίην ἐρίσαντας περὶ τῆς χώρης, μαρτύρια θέσθαι. ταύτην ὦν τὴν ἐλαίην ἅμα τῷ ἄλλῳ ἱρῷ κατέλαβε ἐμπρησθῆναι ὑπὸ τῶν βαρβάρων. δευτέρῃ δὲ ἡμέρῃ ἀπὸ τῆς ἐμπρήσιος, Ἀθηναῖοι οἱ θύειν ὑπὸ βασιλέος κελευόμενοι, ὡς ἀνέβησαν ἐς τὸ ἱρόν, ὥρων βλαστὸν ἐκ τοῦ στελέχεος ὅσον τε πηχυαῖον ἀναδεδραμηκότα. οὗτοι μέν νυν ταῦτα ἔφρασαν. οἱ δὲ ἐν Σαλαμῖνι Ἕλληνες, ὥς σφι ἐξηγγέλθη, ὡς ἔσχε τὰ περὶ τὴν Ἀθηναίων ἀκρόπολιν, ἐς τοσοῦτον θόρυβον ἀπίκοντο, ὥς ἔνιοι τῶν στρατηγῶν οὐδὲ κυρωθῆναι ἔμενον τὸ προκείμενον πρῆγμα, ἀλλ' ἔς τε τὰς νῆας ἐσέπιπτον, καὶ ἱστία ἀείροντο ὡς ἀποθευσόμενοι. τοῖσί τε ὑπολειπομένοισι αὐτέων, ἐκυρώθη πρὸ τοῦ Ἰσθμοῦ ναυμαχέειν. νύξ τε ἐγίνετο, καὶ οἱ διαλυθέντες ἐκ τοῦ συνεδρίου, ἐσέβαινον ἐς τὰς νῆας. ἐνθαῦτα δὴ Θεμιστοκλέα ἀπικόμενον ἐπὶ τὴν νέα, εἴρετο Μνησίφιλος, ἀνὴρ Ἀθηναῖος, ὅ, τι σφι εἴη βεβουλευμένον. πυθόμενος δὲ πρὸς αὐτοῦ ὡς εἴη δεδογμένον ἀνάγειν τὰς νῆας πρὸς τὸν Ἰσθμόν, καὶ πρὸ τῆς Πελοποννήσου ναυμαχέειν, εἶπε· οὔτ' ἄρα ἢν ἀπαείρωσι τὰς νῆας ἀπὸ Σαλαμῖνος, περὶ οὐδεμιῆς ἔτι πατρίδος ναυμαχήσεις· κατὰ γὰρ πόλιας ἕκαστοι τρέψονται. καὶ οὔτε σφεας Εὐρυβιάδης κατέχειν δυνήσεται, οὔτε τις ἀνθρώπων ἄλλος, ὥστε μὴ οὐ διασκεδασθῆναι τὴν στρατιήν, ἀπολέεταί τε ἡ Ἑλλὰς ἀβουλίῃσι. ἀλλ' εἴ τις ἐστὶ μηχανή, ἴθι καὶ πειρῶ διαχέαι τὰ βεβουλευμένα, ἤν κως δύνῃ ἀναγνῶσαι Εὐρυβιάδεα μεταβουλεύσασθαι, ὥστε αὐτοῦ μένειν. κάρτα δὴ τῷ Θεμιστοκλέϊ ἤρεσε ἡ ὑποθήκη. καὶ οὐδὲν πρὸς ταῦτα ἀμειψάμενος, ἤιε ἐπὶ τὴν νέα τὴν Εὐρυβιάδεω. ἀπικόμενος δὲ ἔφη θέλειν οἱ κοινόν τι πρῆγμα συμμῖξαι. ὁ δ' αὐτὸν ἐς τὴν νέα ἐκέλευε ἐσβάντα, λέγειν εἴ τι θέλει. ἐνθαῦτα ὁ Θεμιστοκλέης παριζόμενός οἱ, καταλέγει ἐκεῖνά τε πάντα τὰ ἤκουσε Μνησιφίλου, ἑωυτοῦ ποιεύμενος, καὶ ἄλλα πολλὰ προστιθείς, ἐς ὃ ἀνέγνωσε χρηΐζων ἔκ τε τῆς νηὸς ἐκβῆναι τὸν Εὐρυβιάδεα, συλλέξαι τε τοὺς στρατηγοὺς ἐς τὸ συνέδριον. ὡς δὲ ἄρα συνελέχθησαν, πρὶν ἢ τὸν Εὐρυβιάδεα προθεῖναι τὸν λόγον, τῶν εἵνεκα συνήγαγε τοὺς στρατηγούς, πολλὸς ἦν ὁ Θεμιστοκλέης ἐν τοῖσι λόγοισι, οἷα κάρτα δεόμενος. λέγοντος δὲ αὐτοῦ, ὁ Κορίνθιος στρατηγὸς Ἀδείμαντος ὁ Ὠκύτου, εἶπε· Ὦ Θεμιστόκλεες, ἐν τοῖσι ἀγῶσι οἱ προεξανιστάμενοι ῥαπίζονται. ὁ δὲ ἀπολυόμενος, ἔφη. οἱ δέ γε ἐγκαταλειπόμενοι, οὐ στεφανοῦνται. τότε μὲν ἠπίως πρὸς τὸν Κορίνθιον ἀμείψατο. πρὸς δὲ τὸν Εὐρυβιάδεα ἔλεγε, ἐκείνων μὲν ἔτι οὐδὲν τῶν πρό

πρότερον λεχθέντων, ὡς ἐπεὰν ἀπαίρωσι ἀπὸ Σαλαμῖνος, διαδρήσονται. παρεόντων γὰρ τῶν συμμάχων, οὐκ ἔφερέ οἱ κόσμον οὐδένα κατηγορέειν. ὁ δὲ ἄλλου λόγου εἴχετο, λέγων τάδε· ἐν σοὶ νῦν ἐστὶ σῶσαι τὴν Ἑλλάδα, ἢν ἐμοὶ πείθῃ ναυμαχίην αὐτοῦ μένων ποιέεσθαι, μηδὲ πειθόμενος τουτέων τοῖσι λέγουσι, ἀναζεύξῃς πρὸς τὸν ἰσθμὸν τὰς νέας· ἀντίθες γὰρ ἑκάτερον ἀκούσας· πρὸς μὲν τῷ ἰσθμῷ συμβάλλων, ἐν πελάγεϊ ἀναπεπταμένῳ ναυμαχήσεις, ἐς ὃ ἥκιστα ἡμῖν σύμφορόν ἐστι νέας ἔχουσι βαρυτέρας, καὶ ἀριθμὸν ἐλάσσονας. τοῦτο δὲ ἀπολέεις Σαλαμῖνά τε καὶ Μέγαρα, καὶ Αἴγιναν, ἤν περ καὶ τὰ ἄλλα εὐτυχήσωμεν. ἅμα γὰρ τῷ ναυτικῷ στρατῷ αὐτέων ἕψεται καὶ ὁ πεζός. καὶ οὕτω σφέας αὐτὸς ἄξεις ἐπὶ τὴν Πελοπόννησον, κινδυνεύσεις τε ἁπάσῃ τῇ Ἑλλάδι. ἢν δὲ τὰ ἐγὼ λέγω ποιήσῃς, τοσάδε ἐν αὐτοῖσι χρηστὰ εὑρήσεις. πρῶτα μὲν ἐν στεινῷ συμβάλλοντες νηυσὶ ὀλίγῃσι πρὸς πολλάς, ἢν τὰ οἰκότα ἐκ τοῦ πολέμου ἐκβαίνῃ, πολλὸν κρατήσομεν. τὸ γὰρ ἐν στεινῷ ναυμαχέειν, πρὸς ἡμέων ἐστί· ἐν εὐρυχωρίῃ δέ, πρὸς ἐκείνων. αὖτις δὲ Σαλαμὶς περιγίνεται, ἐς τὴν ἡμῖν ὑπέκκειται τέκνα τε καὶ γυναῖκες. καὶ μὴν καὶ τόδε ἐν αὐτοῖσι ἔνεστι, τοῦ καὶ περιέχεσθε μάλιστα. ὁμοίως αὐτοῦ τε μένων, προναυμαχήσεις Πελοποννήσου, καὶ πρὸς τῷ ἰσθμῷ, οὐδέ σφεας, εἴ περ εὖ φρονέεις, ἄξεις ἐπὶ τὴν Πελοπόννησον. ἢν δέ γε καὶ τὰ ἐγὼ ἐλπίζω γένηται, καὶ νικήσωμεν τῇσι νηυσί, οὔτε ὑμῖν ἐς τὸν ἰσθμὸν παρέσονται οἱ βάρβαροι, οὔτε προβήσονται ἑκαστέρω τῆς Ἀττικῆς, ἄπιασί τε οὐδενὶ κόσμῳ· Μεγαροῖσί τε κερδανέομεν περιεοῦσι, καὶ Αἰγίνῃ, καὶ Σαλαμῖνι, ἐν τῇ ἡμῖν καὶ λόγιόν ἐστι τῶν ἐχθρῶν κατύπερθε γενέσθαι. οἰκότα μέν νυν βουλευομένοισι ἀνθρώποισι, ὡς τὸ ἐπίπαν ἐθέλει γίνεσθαι. μὴ οἰκότα δὲ βουλευομένοισι, οὐκ ἐθέλει οὐδὲ ὁ θεὸς προσχωρέειν πρὸς τὰς ἀνθρωπηΐας γνώμας. ταῦτα λέγοντος Θεμιστοκλέος, αὖτις ὁ Κορίνθιος Ἀδείμαντος ἐπεφέρετο, σιγᾶν τε κελεύων τῷ μὴ ἔστι πατρίς, καὶ Εὐρυβιάδην οὐκ ἐῶν ἐπιψηφίζειν ἀπόλι ἀνδρί. πόλιν γὰρ τὸν Θεμιστοκλέα παρεχόμενον, οὕτω ἐκέλευε γνώμας συμβάλλεσθαι. ταῦτα δέ οἱ προέφερε, ὅτι ἡλώκεσάν τε καὶ κατείχοντο αἱ Ἀθῆναι. τότε δὴ ὁ Θεμιστοκλέης, κεῖνόν τε καὶ τοὺς Κορινθίους πολλά τε καὶ κακὰ ἔλεγε. ἑωυτοῖσί τε ἐδήλου λόγῳ, ὡς εἴη καὶ πόλις, καὶ γῆ μέζων ἤπερ κείνοισι, ἔστ' ἂν διηκόσιαι νέες σφι ἔωσι πεπληρωμέναι. οὐδαμοὺς γὰρ Ἑλλήνων αὐτοὺς ἐπιόντας ἀποκρούσεσθαι· σημαίνων δὲ ταῦτα τῷ λόγῳ, διέβαινε ἐς Εὐρυβιάδεα, λέγων μᾶλλον ἐπεστραμμένα· σὺ εἰ μενέεις αὐτοῦ, καὶ μένων ἔσεαι ἀνὴρ ἀγαθός. εἰ δὲ μή, ἀνατρέψεις τὴν Ἑλλάδα. τὸ πᾶν γὰρ ἡμῖν τοῦ πολέμου, φέρουσι αἱ νέες. ἀλλ' ἐμοὶ πείθεο. εἰ δὲ ταῦτα μὴ ποιήσεις, ἡμεῖς μὲν ὡς ἔχομεν ἀναλαβόντες τοὺς οἰκέτας, κομιεύμεθα ἐς Σῖριν τὴν ἐν Ἰταλίῃ, ἥπερ ἡμετέρη τέ ἐστι ἐκ παλαιοῦ ἔτι, καὶ τὰ λόγια λέγει, ὑπ' ἡμέων αὐτέων δέειν κτισθῆναι. ὑμεῖς δὲ συμμάχων τοιούτων μουνωθέντες, μεμνήσεσθε τῶν ἐμῶν λόγων. ταῦτα δὲ Θεμιστοκλέος λέγοντος, ἀνεδιδάσκετο Εὐρυβιάδης. δοκέειν δέ μοι, ἀρρωδήσας μάλιστα τοὺς Ἀθηναίους, ἀνεδιδάσκετο, μή σφεας ἀπολίπωσι, ἢν πρὸς τὸν ἰσθμὸν ἀγάγῃ τὰς νέας. ἀπολιπόντων γὰρ Ἀθηναίων, οὐκέτι ἐγίνοντο ἀξιόμαχοι οἱ λοιποί. ταύτην δὲ αἱρέεται τὴν γνώμην, αὐτοῦ μένοντας διαναυμαχέειν. οὕτω μὲν οἱ περὶ Σαλαμῖνα ἔπεσι ἀκροβολισάμενοι, ἐπεί τε Εὐρυβιάδῃ ἔδοξε, αὐτοῦ παρεσκευάζοντο ὡς ναυμαχήσοντες. ἡμέρη τε ἐγένετο, καὶ ἅμα τῷ ἡλίῳ ἀνιόντι σεισμὸς ἐγένετο ἔν τε τῇ γῇ, καὶ τῇ θαλάσσῃ. ἔδοξε δέ σφι εὔξασθαι τοῖσι θεοῖσι, καὶ ἐπικαλέσασθαι τοὺς Αἰακίδας συμμάχους. ὡς δέ σφι ἔδοξε, καὶ ἐποίευν ταῦτα. εὐξάμενοι γὰρ πᾶσι τοῖσι θεοῖσι, αὐτόθεν μὲν ἐκ Σαλαμῖνος Αἴαντά τε καὶ Τελαμῶνα ἐπεκαλέοντο. ἐπὶ δὲ Αἰακὸν, καὶ τοὺς ἄλλους Αἰακίδας, νέα ἀπέστελλον ἐς Αἴγιναν. ἔφη δὲ Δικαῖος ὁ Θεοκύδεος, ἀνὴρ Ἀθηναῖος, φυγάς τε, καὶ παρὰ Μήδοισι λόγιμος γενόμενος τοῦτον τὸν χρόνον, ἐπεί τε ἐκείρετο ἡ Ἀττικὴ χώρη ὑπὸ τοῦ πεζοῦ στρατοῦ τοῦ Ξέρξεω, ἐοῦσα ἔρημος Ἀθηναίων, τυχεῖν τότε ἐὼν ἅμα Δημαρήτῳ τῷ Λακεδαιμονίῳ ἐν τῷ Θριασίῳ πεδίῳ, ἰδεῖν κονιορτὸν χωρέοντα ἀπὸ Ἐλευσῖνος, ὡς ἀνδρῶν μάλιστά κῃ τρισμυρίων, ἀποθωμάζειν τέ σφεας τὸν κονιορτὸν, ὅτεών κοτε εἴη ἀνθρώπων, καὶ πρόκα τε φωνῆς ἀκούειν· καί οἱ φαίνεσθαι τὴν φωνὴν εἶναι τὸν μυστικὸν Ἴακχον. εἶναι δ' ἀδαήμονα τῶν ἱρῶν τῶν ἐν Ἐλευσῖνι γινομένων τὸν Δημάρητον,

ρητον. εἴρεσθαί τε αὐτὸν, ὅ,τι τὸ φθεγγόμενον εἴη τοῦτο. αὐτὸς δὲ εἰπεῖν, Δημάρητε, οὐκ ἔστι ὅκως οὐ μέγα τι σίνος ἔσται τῇ βασιλῆος στρατιῇ. τάδε γὰρ ἀρίδηλα ἐρήμου ἐούσης τῆς Ἀττικῆς, ὅτι θεῖον τὸ φθεγγόμενον, ἀπ' Ἐλευσῖνος ἰὸν ἐς τιμωρίην Ἀθηναίοισί τε καὶ τοῖσι ξυμμάχοισι. καὶ ἢν μέν γε κατασκήψῃ ἐς τὴν Πελοπόννησον, κίνδυνος αὐτῷ τε βασιλέϊ καὶ τῇ στρατιῇ τῇ ἐν τῇ ἠπείρῳ ἔσται. ἢν δὲ ἐπὶ τὰς νῆας τράπηται τὰς ἐν Σαλαμῖνι, τὸν ναυτικὸν στρατὸν κινδυνεύσει βασιλεὺς ἀποβαλέειν. τὴν δὲ ὁρτὴν ταύτην ἄγουσι Ἀθηναῖοι ἀνὰ πάντα ἔτεα τῇ μητρὶ, καὶ τῇ κόρῃ, καὶ αὐτέων τε ὁ βουλόμενος, καὶ τῶν ἄλλων Ἑλλήνων μυεῖται. καὶ τὴν φωνὴν, τῆς ἀκούεις ἐν ταύτῃ τῇ ὁρτῇ ἰακχάζουσι. πρὸς ταῦτα εἰπεῖν Δημάρητον· σίγα τε, καὶ μηδενὶ ἄλλῳ τὸν λόγον τοῦτον εἴπῃς. ἢν γάρ τοι ἐς βασιλῆα ἀνενειχθῇ τὰ ἔπεα ταῦτα, ἀποβαλέεις τὴν κεφαλήν. καί σε οὔτε ἐγὼ δυνήσομαι ῥύσασθαι, οὔτ' ἄλλος ἀνθρώπων οὐδεὶς, ἀλλ' ἔχ' ἥσυχος. περὶ δὲ στρατιῆς τῆσδε, θεοῖσι μελήσει. τὸν μὲν δὴ ταῦτα παραινέειν. ἐκ δὲ τοῦ κονιορτοῦ, καὶ τῆς φωνῆς, γενέσθαι νέφος. καὶ μεταρσιωθὲν, φέρεσθαι ἐπὶ Σαλαμῖνος, ἐπὶ τὸ στρατόπεδον τὸ τῶν Ἑλλήνων. οὕτω δὲ αὐτοὺς μαθεῖν, ὅτι τὸ ναυτικὸν τὸ Ξέρξεω ἀπολέεσθαι μέλλοι. ταῦτα μὲν Δικαῖος ὁ Θεοκύδεος ἔλεγε, Δημαρήτου τε καὶ ἄλλων μαρτύρων καταπτόμενος. οἱ δὲ ἐς τὸν Ξέρξεω ναυτικὸν στρατὸν ταχθέντες, ἐπειδὴ ἐκ Τρηχῖνος θεησάμενοι τὸ τρῶμα τὸ Λακωνικὸν, διέβησαν ἐς τὴν Ἱστιαίην, ἐπισχόντες ἡμέρας τρεῖς, ἔπλωον δι' Εὐρίπου. καὶ ἐν ἑτέρῃσι τρισὶ ἡμέρῃσι ἐγένοντο ἐν Φαλήρῳ. ὡς μὲν ἐμοὶ δοκέει, οὐκ ἐλάσσονες ἐόντες ἀριθμὸν, ἐσέβαλον ἐς τὰς Ἀθήνας κατά τε ἤπειρον. καὶ τῇσι νηυσὶ ἀπικόμενοι, ἢ ἐπί τε Σηπιάδα ἀπίκοντο, καὶ ἐς Θερμοπύλας. ἀντιθήσω γὰρ τοῖσί τε ὑπὸ τοῦ χειμῶνος αὐτέων ἀπολομένοισι, καὶ τοῖσι ἐν Θερμοπύλῃσι, καὶ τῇσι ἐπ' Ἀρτεμισίῳ ναυμαχίῃσι τούσδε τοὺς τότε οὔκω ἑπομένους βασιλέϊ, Μηλιέας καὶ Δωριέας καὶ Λοκροὺς, καὶ Βοιωτοὺς, πανστρατιῇ ἑπομένους, πλὴν Θεσπιέων τε καὶ Πλαταιέων. καὶ μάλα Καρυστίους τε καὶ Ἀνδρίους, καὶ Τηνίους, καὶ τοὺς λοιποὺς νησιώτας πάντας, πλὴν τῶν πέντε πολίων, τῶν ἐπεμνήσθην πρότερον τὰ οὐνόματα. ὅσῳ γὰρ δὴ προέβαινε ἐσωτέρω τῆς Ἑλλάδος ὁ Πέρσης, τοσούτῳ πλέω ἔθνεά οἱ εἵπετο. ἐπεὶ ὦν ἀπικέατο ἐς τὰς Ἀθήνας, πάντες, πλὴν Παρίων, Πάριοι δὲ ὑπολειφθέντες ἐν Κύθνῳ, ἐκαραδόκεον τὸν πόλεμον τῇ ἀποβήσεται. οἱ δὲ λοιποὶ ὡς ἀπίκοντο ἐς τὸ Φάληρον, ἐνθαῦτα κατέβη αὐτὸς Ξέρξης ἐπὶ τὰς νῆας, ἐθέλων σφι συμμῖξαί τε καὶ πυθέσθαι τῶν ἐπιπλεόντων τὰς γνώμας. ἐπεὶ δὲ ἀπικόμενος προΐζετο, παρῆσαν μετάπεμπτοι οἱ τῶν ἐθνέων τῶν σφετέρων τύραννοι, καὶ ταξίαρχοι ἀπὸ τῶν νηῶν. καὶ ἵζοντο ὥς σφι βασιλεὺς ἑκάστῳ τιμὴν ἐδεδώκεε, πρῶτος μὲν ὁ Σιδώνιος βασιλεὺς, μετὰ δὲ ὁ Τύριος, ἐπὶ δὲ ὧλλοι. ὡς δὲ κόσμῳ ἐπεξῆς ἵζοντο, πέμψας Ξέρξης Μαρδόνιον, εἰρώτα ἀποπειρώμενος ἑκάστου εἰ ναυμαχίην ποιέοιτο. ἐπεὶ δὲ περιιὼν εἰρώτα ὁ Μαρδόνιος ἀρξάμενος ἀπὸ τοῦ Σιδωνίου, οἱ μὲν ἄλλοι κατὰ τὠυτὸ γνώμην ἐξεφέροντο, κελεύοντες ναυμαχίην ποιέεσθαι. Ἀρτεμισίη δὲ τάδε ἔφη· εἰπαί μοι πρὸς βασιλῆα Μαρδόνιε, ὡς ἐγὼ τάδε λέγω, οὔτε κακίστη γενομένη ἐν τῇσι ναυμαχίῃσι τῇσι πρὸς Εὐβοίῃ, οὔτε ἐλάχιστα ἀποδεξαμένη δέσποτα. τὴν δὲ ἐοῦσαν γνώμην με δίκαιόν ἐστιν ἀποδείκνυσθαι, τὰ τυγχάνω φρονέουσα ἄριστα ἐς πρήγματα τὰ σά. καί τοι τάδε λέγω. φείδεο τῶν νηῶν, μηδὲ ναυμαχίην ποιέεο. οἱ γὰρ ἄνδρες, τῶν σῶν ἀνδρῶν κρέσσονες τοσοῦτόν εἰσι κατὰ θάλασσαν, ὅσον ἄνδρες γυναικῶν. τί δὲ πάντως δέει σε ναυμαχίῃσι ἀνακινδυνεύειν; οὐκ ἔχεις μὲν τὰς Ἀθήνας, τῶν περ εἵνεκα ὡρμήθης στρατεύεσθαι; ἔχεις δὲ τὴν ἄλλην Ἑλλάδα; ἐμποδὼν δέ τοι ἵσταται οὐδείς; οἳ δέ τοι ἀντέστησαν, ἀπήλλαξαν οὕτω ὡς ἐκείνοις ἔπρεπε. τῇ δ' ἐγὼ δοκέω ἀποβήσεσθαι τὰ τῶν ἀντιπολέμων πρήγματα, τοῦτο φράσω. ἢν μὲν μὴ ἐπειχθῇς ναυμαχίην ποιεύμενος, ἀλλὰ τὰς νῆας αὐτοῦ ἔχῃς πρὸς γῇ μένων, ἢ καὶ προβαίνων ἐς τὴν Πελοπόννησον, εὐπετέως τοι δέσποτα χωρήσει τὰ νοέων ἐλήλυθας. οὐ γὰρ οἷοί τε πολλὸν χρόνον εἰσί τοι ἀντέχειν οἱ Ἕλληνες, ἀλλά σφεας διασκεδᾷς. κατὰ δὲ πόλις ἕκαστοι φεύξονται. οὔτε γὰρ σῖτος παρὰ σφίσι ἐν τῇ νήσῳ ταύτῃ ὡς ἐγὼ πυνθάνομαι, οὔτε αὐτοὺς οἰκὸς ἢν σὺ ἐπὶ τὴν Πελοπόννησον ἐλαύνῃς τὸν πεζὸν στρατὸν, ἀτρεμιέειν τοὺς ἐκεῖθεν αὐτέων ἥκοντας. οὐδέ σφι μελήσει πρὸ τῶν Ἀθηναίων ναυμαχέειν. ἢν δὲ αὐτίκα ἐπειχθῇς ναυμαχῆσαι, δειμαίνω μὴ ὁ ναυτικὸς στρατὸς κακωθεὶς, τὸν πεζὸν προσδηλήσηται.

λήσεται. πρὸς δὲ, ὦ βασιλεῦ, καὶ τόδε ἐς θυμὸν βαλεῦ, ὡς τοῖσι μὲν χρηστοῖσι τῶν ἀνθρώπων κακοὶ δοῦλοι φιλέουσι γίνεσθαι, τοῖσι δὲ κακοῖσι χρηστοί. σοὶ δὲ ἐόντι ἀρίστῳ ἀνδρῶν πάντων, κακοὶ δοῦλοί εἰσι. οἳ ἐν συμμάχων λόγῳ λέγονται εἶναι, ἐόντες Αἰγύπτιοί τε καὶ Κύπριοι, καὶ Κίλικες καὶ Πάμφυλοι, τῶν ὄφελός ἐστι οὐδέν. ταῦτα λεγούσης πρὸς Μαρδόνιον, ὅσοι μὲν ἦσαν εὔνοοι τῇ Ἀρτεμισίῃ, συμφορὴν ἐποιεῦντο τοὺς λόγους, ὡς κακόν τι πεισομένης πρὸς βασιλέος, ὅτι οὐκ ἐᾷ ναυμαχίην ποιέεσθαι. οἱ δὲ ἀγαιόμενοί τε καὶ φθονέοντες αὐτῇ, ἅτε ἐν πρώτοισι τετιμημένης διὰ πάντων τῶν συμμάχων, ἐτέρποντο τῇ ἀνακρίσι, ὡς ἀπολεομένης αὐτῆς. ἐπεὶ δὲ ἀνηνείχθησαν αἱ γνῶμαι ἐς Ξέρξεα, κάρτα τε ἥσθη τῇ γνώμῃ τῆς Ἀρτεμισίης. καὶ νομίζων ἔτι πρότερον σπουδαίην εἶναι, τότε πολλῷ μᾶλλον αἴνεε. ὅμως δὲ τοῖσι πλέοσι πείθεσθαι ἐκέλευε, τάδε καταδόξας. πρὸς μὲν Εὐβοίῃ σφέας ἐθελοκακέειν, ὡς οὐ παρεόντος αὐτοῦ. τότε δὲ αὐτὸς παρεσκευάσατο θεήσασθαι ναυμαχέοντας. ἐπεὶ δὲ παρήγγελλον ἀναπλώειν, ἀνῆγον τὰς νῆας ἐπὶ τὴν Σαλαμῖνα. καὶ παρεκρίθησαν διαταχθέντες κατ' ἡσυχίην. τότε μέν νυν οὐκ ἐξέχρησέ σφι ἡ ἡμέρη, ναυμαχίην ποιέεσθαι. νὺξ γὰρ ἐγένετο. οἱ δὲ παρεσκευάζοντο ἐς τὴν ὑστεραίην. τοὺς δὲ Ἕλληνας εἶχε δέος τε καὶ ἀρρωδίη, οὐκ ἥκιστα δὲ τοὺς ἀπὸ Πελοποννήσου. ἀρρώδεον δὲ, ὅτι αὐτοὶ μὲν ἐν Σαλαμῖνι κατήμενοι, ὑπὲρ γῆς τῆς Ἀθηναίων ναυμαχέειν μέλλοιεν. νικηθέντες τε ἐν νήσῳ ἀπολαμφθέντες πολιορκήσονται, ἀπέντες τὴν ἑωυτῶν ἀφύλακτον. τῶν δὲ βαρβάρων ὁ πεζὸς ὑπὸ τὴν παρεοῦσαν νύκτα, ἐπορεύετο ἐπὶ τὴν Πελοπόννησον. καίτοι τὰ δυνατὰ πάντα ἐμεμηχάνητο, ὅκως κατ' ἤπειρον μὴ ἐσβάλλοιεν οἱ βάρβαροι. ὡς γὰρ ἐπύθοντο τάχιστα Πελοποννήσιοι τοὺς ἀμφὶ Λεωνίδην ἐν Θερμοπύλῃσι τετελευτηκέναι, συνδραμόντες ἐκ τῶν πολίων, ἐς τὸν Ἰσθμὸν ἵζοντο. καί σφι ἐπῆν στρατηγὸς Κλεόμβροτος ὁ Ἀναξανδρίδεω, Λεωνίδεω δὲ ἀδελφεός. ἱζόμενοι δὲ ἐν τῷ Ἰσθμῷ, καὶ συγχώσαντες τὴν Σκιρωνίδα ὁδὸν, μετὰ τοῦτο ὥς σφι ἔδοξε βουλευομένοισι, ᾠκοδόμεον διὰ τοῦ Ἰσθμοῦ τεῖχος, ἅτε δὴ ἐουσέων μυριάδων πολλέων. καὶ παντὸς ἀνδρὸς ἐργαζομένου, ἤνυετο τὸ ἔργον. καὶ γὰρ λίθοι, καὶ πλίνθοι, καὶ ξύλα καὶ φορμοὶ ψάμμου πλήρεες ἐσεφορέοντο, καὶ ἐλίνυον οὐδένα χρόνον οἱ βοηθήσαντες ἐργαζόμενοι, οὔτε νυκτὸς, οὔτε ἡμέρης. οἱ δὲ βοηθήσαντες ἐς τὸν Ἰσθμὸν πανδημεὶ, οἵδε ἦσαν Ἑλλήνων. Λακεδαιμόνιοί τε καὶ Ἀρκάδες πάντες, καὶ Ἠλεῖοι, καὶ Κορίνθιοι, καὶ Σικυώνιοι, καὶ Ἐπιδαύριοι, καὶ Φλιάσιοι, καὶ Τροιζήνιοι, καὶ Ἑρμιονέες. οὗτοι μὲν ἦσαν οἱ βοηθήσαντες, καὶ ὑπεραρρωδέοντες τῇ Ἑλλάδι κινδυνευούσῃ. τοῖσι δὲ ἄλλοισι Πελοποννησίοισι ἔμελε οὐδέν. Ὀλύμπια δὲ καὶ Κάρνεια παροιχώκεε ἤδη. οἰκέει δὲ τὴν Πελοπόννησον ἔθνεα ἑπτά. τούτων δὲ τὰ μὲν δύο αὐτόχθονα ἐόντα, κατὰ χώρην ἵδρυται, νῦν τε καὶ τὸ πάλαι οἴκεον, Ἀρκάδες, καὶ Κυνούριοι. ἓν δὲ ἔθνος τὸ Ἀχαϊκὸν, ἐκ μὲν Πελοποννήσου οὐκ ἐξεχώρησε, ἐκ μέντοι τῆς ἑωυτῶν. οἰκέει δὲ τὴν ἀλλοτρίην. τὰ δὲ λοιπὰ ἔθνεα τῶν ἑπτὰ τέσσερα, ἐπήλυδά ἐστι· Δωριέες τε καὶ Αἰτωλοὶ, καὶ Δρύοπες, καὶ Λήμνιοι. καὶ Δωριέων μὲν πολλαί τε καὶ δόκιμοι πόλιες, Αἰτωλῶν δὲ Ἦλις μούνη. Δρυόπων δὲ Ἑρμιόνη τε καὶ Ἀσίνη ἡ πρὸς Καρδαμύλῃ τῇ Λακωνικῇ. Λημνίων δὲ Παρωρεῆται πάντες. οἱ δὲ Κυνούριοι αὐτόχθονες ἐόντες, δοκέουσι μοῦνοι εἶναι Ἴωνες. ἐκδεδωρίευνται δὲ ὑπό τε Ἀργέων ἀρχόμενοι, καὶ τοῦ χρόνου, ἐόντες Ὀρνεῆται, καὶ οἱ περίοικοι. τούτων ὦν τῶν ἑπτὰ ἐθνέων αἱ λοιπαὶ πόλιες, πάρεξ τῶν κατέλεξα, ἐκ τοῦ μέσου κατέατο. εἰ δὲ ἐλευθέρως ἔξεστι εἰπεῖν, ἐκ τοῦ μέσου κατήμενοι, ἐμήδιζον. οἱ μὲν δὴ ἐν τῷ Ἰσθμῷ, τοιούτῳ πόνῳ συνέστασαν, ἅτε περὶ τοῦ παντὸς ἤδη δρόμον θέοντες, καὶ τῇσι νηυσὶ οὐκ ἐλπίζοντες ἐλλάμψεσθαι. οἱ δὲ ἐν Σαλαμῖνι Ἕλληνες, ὅμως ταῦτα πυνθανόμενοι, ἀρρώδεον, οὐκ οὕτω περὶ σφίσι αὐτοῖσι δειμαίνοντες, ὡς περὶ τῇ Πελοποννήσῳ. τέως μὲν δὴ αὐτέων ἀνὴρ ἀνδρὶ παραστὰς σιγῇ λόγον ἐποιέετο, θῶμα ποιεύμενος τὴν Εὐρυβιάδεω ἀβουλίην. τέλος δὲ ἐξερράγη ἐς τὸ μέσον. σύλλογός τε δὴ ἐγίνετο, καὶ πολλὰ ἐλέγετο περὶ τῶν αὐτέων. οἱ μὲν ὡς ἐς τὴν Πελοπόννησον χρεὸν εἴη ἀποπλώειν, καὶ περὶ ἐκείνης κινδυνεύειν, μηδὲ πρὸ χώρης δοριαλώτου μένοντας μάχεσθαι. Ἀθηναῖοι δὲ καὶ Αἰγινῆται, καὶ Μεγαρέες, αὐτοῦ μένοντας, ἀμύνεσθαι. ἐνθαῦτα Θεμιστοκλέης ὡς ἑσσοῦτο τῇ γνώμῃ ὑπὸ τῶν Πελοποννησίων, λαθὼν, ἐξέρχεται ἐκ τοῦ συνεδρίου. ἐξελθὼν δὲ πέμπει ἐς τὸ στρατό-

πεδον

πεδον τὸ Μήδων ἄνδρα πλοίῳ, ἐντειλάμενος τὰ λέγειν χρεών· τῷ οὔνομα μὲν ἦν Σίκιννος, οἰκέτης δὲ καὶ παιδαγωγὸς ἦν τῶν Θεμιστοκλῆος παίδων. τὸν δὴ ὕστερον τούτων τῶν πρηγμάτων Θεμιστοκλέης, Θεσπιέα τε ἐποίησε, ὡς ἐπεδέκοντο οἱ Θεσπιέες πολίτας, καὶ χρήμασι ὄλβιον. ὃς τότε πλοίῳ ἀπικόμενος, ἔλεγε πρὸς τοὺς στρατηγοὺς τῶν βαρβάρων τάδε. Ἔπεμψέ με στρατηγὸς ὁ Ἀθηναίων λάθρῃ τῶν ἄλλων Ἑλλήνων. τυγχάνει γὰρ φρονέων τὰ βασιλῆος, καὶ βουλόμενος μᾶλλον τὰ ὑμέτερα κατύπερθε γίνεσθαι ἢ τὰ τῶν Ἑλλήνων πρήγματα, φράσοντα ὅτι οἱ Ἕλληνες δρησμὸν βουλεύονται καταῤῥωδηκότες. καὶ νῦν παρέχει κάλλιστον ὑμέας ἔργον ἁπάντων ἐξεργάσασθαι, ἢν μὴ περιίδητε διαδράντας αὐτούς. οὔτε γὰρ ἀλλήλοισι ὁμοφρονέουσι, οὔτε ἀντιστήσονται ὑμῖν. πρὸς ἑωυτούς τε σφέας ὄψεσθε ναυμαχέοντας, τοὺς τὰ ὑμέτερα φρονέοντας, καὶ τοὺς μή. ὁ μὲν ταῦτά σφι σημήνας, ἐκποδὼν ἀπαλλάσσετο. τοῖσι δὲ ὡς πιστὰ ἐγίνετο τὰ ἀγγελθέντα, τοῦτο μὲν ἐς τὴν νησῖδα τὴν Ψυττάλειαν μεταξὺ Σαλαμῖνός τε κειμένην καὶ τῆς ἠπείρου, πολλοὺς τῶν Περσέων ἀπεβιβάσαντο. τοῦτο δὲ ἐπειδὴ ἐγίνοντο μέσαι νύκτες, ἀνῆγον μὲν τὸ ἀπ᾽ ἑσπέρης κέρας κυκλούμενοι πρὸς τὴν Σαλαμῖνα. ἀνῆγον δὲ οἱ ἀμφὶ τὴν Κέον τε καὶ τὴν Κυνόσουραν τεταγμένοι. κατεῖχόν τε μέχρι Μουνυχίης πάντα τὸν πορθμὸν τῇσι νηυσί. τῶνδε δὲ εἵνεκα ἀνῆγον τὰς νέας, ἵνα δὴ τοῖσι Ἕλλησι μηδὲ φυγέειν ἐξῇ. ἀλλ᾽ ἀπολαμφθέντες ἐν τῇ Σαλαμῖνι, δοῖεν τίσιν τῶν ἐπ᾽ Ἀρτεμισίῳ ἀγωνισμάτων. ἐς δὲ τὴν νησῖδα τὴν Ψυττάλειαν καλεομένην, ἀπεβίβαζον τῶν Περσέων τῶνδε εἵνεκα, ὡς ἐπεὰν γίνηται ναυμαχίη, ἐνθαῦτα μάλιστα ἐξοισομένων τῶν τε ἀνδρῶν καὶ τῶν ναυηγίων. ἐν γὰρ δὴ πόρῳ ναυμαχίης τῆς μελλούσης ἔσεσθαι, ἔκειτο ἡ νῆσος, ἵνα τοὺς μὲν περιποιῶσι, τοὺς δὲ διαφθείρωσι. ἐποίευν δὲ σιγῇ ταῦτα, ὡς μὴ πυνθανοίατο οἱ ἐναντίοι. οἱ μὲν δὴ ταῦτα τῆς νυκτὸς οὐδὲν ἀποκοιμηθέντες, παραρτέοντο. χρησμοῖσι δὲ οὐκ ἔχω ἀντιλέγειν ὡς οὐκ εἰσὶ ἀληθέες, οὐ βουλόμενος ἐναργέως λέγοντας πειρᾶσθαι καταβάλλειν, ἐς τοιάδε πρήγματα ἐσβλέψας·

» Ἀλλ᾽ ὅταν Ἀρτέμιδος χρυσαόρου ἱερὸν ἀκτὴν,
» Νηυσὶ γεφυρώσωσι, καὶ ἐναλίην Κυνόσουραν,
» Ἐλπίδι μαινομένῃ λιπαρὰς πέρσαντες Ἀθήνας,
» Δῖα δίκη σβέσσει κρατερὸν κόρον ὕβριος υἱὸν,
» Δεινὸν μαιμώοντα, δοκεῦντ᾽ ἀνὰ πάντα πυθέσθαι.
» Χαλκὸς γὰρ χαλκῷ συμμίξεται, αἵματι δ᾽ Ἄρης
» Πόντον φοινίξει, τότ᾽ ἐλεύθερον Ἑλλάδος ἦμαρ
» Εὐρύοπα Κρονίδης ἐπάγει, καὶ πότνια νίκη.

Ἐς τοιαῦτα μὲν καὶ οὕτω ἐναργέως λέγοντι Βάκιδι ἀντιλογίης χρησμῶν πέρι, οὔτε αὐτὸς λέγειν τολμέω, οὔτε παρ᾽ ἄλλων ἐνδέκομαι. Τῶν δὲ ἐν Σαλαμῖνι στρατηγῶν, ἐγίνετο ὠθισμὸς λόγων πολλός. ᾔδεσαν δὲ οὔκω, ὅτι σφέας περιεκυκλοῦντο τῇσι νηυσὶ οἱ βάρβαροι. ἀλλ᾽ ὥσπερ τῆς ἡμέρης ὥρων αὐτοὺς τεταγμένους, ἐδόκεον κατὰ χώρην εἶναι. συνεστηκότων δὲ τῶν στρατηγῶν, ἐξ Αἰγίνης διέβη Ἀριστείδης ὁ Λυσιμάχου, ἀνὴρ Ἀθηναῖος μὲν, ἐξωστρακισμένος δὲ ὑπὸ τοῦ δήμου. τὸν ἐγὼ νενόμικα, πυνθανόμενος αὐτοῦ τὸν τρόπον, ἄριστον ἄνδρα γενέσθαι ἐν Ἀθήνῃσι, καὶ δικαιότατον. οὗτος ὡνὴρ στὰς ἐπὶ τὸ συνέδριον, ἐξεκαλέετο Θεμιστοκλῆα, ἐόντα μὲν ἑωυτῷ οὐ φίλον, ἐχθρὸν δὲ τὰ μάλιστα. ὑπὸ δὲ μεγάθεος τῶν παρεόντων κακῶν, λήθην ἐκείνων ποιεύμενος, ἐξεκαλέετο, θέλων αὐτῷ συμμῖξαι. προακηκόεε δὲ, ὅτι σπεύδοιεν οἱ ἀπὸ Πελοποννήσου ἀνάγειν τὰς νέας πρὸς τὸν Ἰσθμόν. ὡς δὲ ἐξῆλθέ οἱ Θεμιστοκλέης, ἔλεγε Ἀριστείδης τάδε· Ἡμέας στασιάζειν χρεών ἐστι ἐν τῷ ἄλλῳ καιρῷ, καὶ δὴ καὶ ἐν τῷδε περὶ τοῦ, ὁκότερος ἡμέων πλέω ἀγαθὰ τὴν πατρίδα ἐργάσεται. λέγω δὲ, ὅτι ἴσον ἐστὶ πολλά τε καὶ ὀλίγα λέγειν περὶ ἀποπλόου τοῦ ἐνθεῦτεν Πελοποννησίοισι. ἐγὼ γὰρ αὐτόπτης τοι λέγω γενόμενος, ὅτι νῦν οὐδ᾽ ἢν θέλωσι Κορίνθιοί τε καὶ αὐτὸς Εὐρυβιάδης, οἷοί τε ἔσονται ἐκπλῶσαι. περιεχόμεθα γὰρ ὑπὸ τῶν πολεμίων κύκλῳ. ἀλλ᾽ ἐσελθών σφι ταῦτα σήμηνον. ὁ δ᾽ ἀμείβετο τοῖσδε. Κάρτα τε χρηστὰ διακελεύεαι, καὶ εὖ ἤγγειλας. τὰ γὰρ ἐγὼ ἐδεόμην γενέσθαι, αὐτὸς αὐτόπτης γενόμενος ἥκεις. ἴσθι γὰρ ἐξ ἐμέο τὰ ποιεύμενα ὑπὸ Μήδων. ἔδεε γὰρ, ὅτι οὐκ ἑκόντες ἤθελον ἐς μάχην κατίστασθαι οἱ Ἕλληνες, ἀέκοντας παραστήσασθαι. σὺ δὲ ἐπεί περ ἥκεις χρηστὰ

ἀπαγγέλλων,

ἀπαγγέλλων, αὐτός σφι ἄγγελον. ἢν γὰρ ἐγὼ αὐτὰ λέγω, δόξω πλάσας λέγειν, καὶ οὐ πείσω, ὡς οὐ ποιεύντων τῶν βαρβάρων ταῦτα, ἀλλά σφι σήμηνον αὐτὸς παρελθὼν ὡς ἔχει. ἐπεὰν δὲ σημήνῃς, ἢν μὲν πείθωνται, ταῦτα δὴ τὰ κάλλιστα. ἢν δὲ αὐτοῖσι μὴ πιστὰ γένηται, ὅμοιον ἡμῖν ἔσται. οὐ γὰρ ἔτι διαδρήσονται, εἴπερ περιεχόμεθα πανταχόθεν, ὡς σὺ λέγεις. ταῦτα ἔλεγε παρελθὼν ὁ Ἀριστείδης, φάμενος ἐξ Αἰγίνης τε ἥκειν, καὶ μόγις ἐκπλῶσαι λαθὼν τοὺς ἐπορμέοντας. περιέχεσθαι γὰρ πᾶν τὸ στρατόπεδον τὸ ἑλληνικὸν ὑπὸ τῶν νεῶν τῶν Ξέρξεω. παραρτέεσθαί τε συνεβούλευε, ὡς ἀλεξησομένους. καὶ ὁ μὲν ταῦτα εἴπας, μετεστήκεε. τῶν δὲ αὖτις ἐγίνετο λόγων ἀμφισβησίη. οἱ πλεῦνες γὰρ τῶν στρατηγῶν οὐκ ἐπείθοντο τὰ ἐξαγγελθέντα. ἀπιστεόντων δὲ τουτέων, ἧκε τριήρης ἀνδρῶν Τηνίων αὐτομολέουσα, τῆς ἦρχε ἀνὴρ Παναίτιος ὁ Σωσιμένεος, ἥπερ δὴ ἔφερε τὴν ἀληθείην πᾶσαν. διὰ δὲ τοῦτο τὸ ἔργον ἐνεγράφησαν Τήνιοι ἐν Δελφοῖσι ἐς τὸν τρίποδα, ἐν τοῖσι τὸν βάρβαρον κατελοῦσι. σὺν δὲ ὧν ταύτῃ τῇ νηὶ τῇ αὐτομολησάσῃ ἐς Σαλαμῖνα, καὶ τῇ πρότερον ἐπ' Ἀρτεμίσιον τῇ Λημνίῃ, ἐξεπληροῦτο τὸ ναυτικὸν τοῖσι Ἕλλησι, ἐς τὰς ὀγδώκοντα καὶ τριηκοσίας νῆας. δύο γὰρ δὴ νεῶν τότε κατέδεε ἐς τὸν ἀριθμόν. τοῖσι δὲ Ἕλλησι, ὡς πιστὰ δὴ τὰ λεγόμενα ἦν τῶν Τηνίων ῥήματα, παρεσκευάζοντο ὡς ναυμαχήσοντες. ἠώς τε διέφαινε, καὶ οἳ σύλλογον τῶν ἐπιβατέων ποιησάμενοι, προηγόρευε εὖ ἔχοντα μὲν ἐκ πάντων Θεμιστοκλέης. τὰ δὲ ἔπεα ἦν πάντα κρέσσω τοῖσι ἥσσοσι ἀντιτιθέμενα. ὅσα δὲ ἐν ἀνθρώπου φύσι καὶ καταστάσι ἐγγίνεται, παραινέσας δὴ τουτέων τὰ κρέσσω αἱρέεσθαι, καὶ καταπλέξας τὴν ῥῆσιν, ἐσβαίνειν ἐκέλευε ἐς τὰς νῆας. καὶ οὗτοι μὲν δὴ ἐσέβαινον. καὶ ἧκε ἡ ἀπ' Αἰγίνης τριήρης, ἣ κατὰ τοὺς Αἰακίδας ἀπεδήμησε. ἐνθαῦτα ἀνῆγον τὰς νῆας ἁπάσας οἱ Ἕλληνες. ἀναγομένοισι δέ σφι, αὐτίκα ἐπεκέατο οἱ βάρβαροι. οἱ μὲν δὴ ἄλλοι Ἕλληνες ἐπὶ πρύμνην ἀνεκρούοντο, καὶ ὤκελλον τὰς νῆας. Ἀμεινίης δὲ Παλληνεύς, ἀνὴρ Ἀθηναῖος, ἐξαναχθεὶς νηὶ ἐμβάλλει. συμπλακείσης δὲ τῆς νηὸς, καὶ οὐ δυναμένων ἀπαλλαγῆναι, οὕτω δὴ οἱ ἄλλοι Ἀμεινίῃ βοηθέοντες συνέμισγον. Ἀθηναῖοι μὲν οὕτω λέγουσι γενέσθαι τῆς ναυμαχίης τὴν ἀρχήν. Αἰγινῆται δὲ τὴν κατὰ τοὺς Αἰακίδας ἀποδημήσασαν ἐς Αἴγιναν, ταύτην εἶναι τὴν ἄρξασαν. λέγεται δὲ καὶ τάδε, ὡς φάσμα σφι γυναικὸς ἐφάνη. φανεῖσαν δὲ διακελεύσασθαι, ὥστε καὶ ἅπαν ἀκοῦσαι τὸ στρατόπεδον τῶν Ἑλλήνων, ὀνειδίσασαν πρότερον τάδε. Ὦ δαιμόνιοι, μέχρι κόσου ἔτι πρύμνην ἀνακρούεσθε; κατὰ μὲν δὴ Ἀθηναίους, ἐτετάχατο Φοίνικες. οὗτοι γὰρ εἶχον τὸ πρὸς Ἐλευσῖνός τε καὶ ἑσπέρης κέρας· κατὰ δὲ Λακεδαιμονίους, Ἴωνες. οὗτοι δ' εἶχον τὸ πρὸς τὴν ἠῶ τε καὶ τὸν Πειραιέα. ἐθελοκάκεον μέντοι αὐτέων κατὰ τὰς Θεμιστοκλέος ἐντολὰς ὀλίγοι. οἱ δὲ πλεῦνες, οὔ. ἔχω μέν νυν συχνῶν οὐνόματα τριηράρχων καταλέξαι, τῶν νῆας ἑλληνίδας ἑλόντων. χρήσομαι δὲ αὐτοῖσι οὐδὲν πλὴν Θεομήστορός τε τοῦ Ἀνδροδάμαντος, καὶ Φυλάκου τοῦ Ἱστιαίου, Σαμίων ἀμφοτέρων. τοῦδε εἵνεκα μέμνημαι τουτέων μούνων, ὅτι Θεομήστωρ μὲν διὰ τοῦτο τὸ ἔργον Σάμου ἐτυράννευσε, καταστησάντων τῶν Περσέων. Φύλακος δὲ εὐεργέτης βασιλέος ἀνεγράφη, καὶ χώρῃ οἱ ἐδωρήθη πολλή. οἱ δ' εὐεργέται τοῦ βασιλέος, ὀροσάγγαι καλέονται περσιστί. περὶ μέν νυν τούτους, οὕτω εἶχε. τὸ δὲ πλῆθος τῶν νεῶν ἐν τῇ Σαλαμῖνι ἐκεραΐζετο, αἱ μὲν ὑπ' Ἀθηναίων διαφθειρόμεναι, αἱ δὲ ὑπὸ Αἰγινητέων. ἅτε γὰρ τῶν μὲν Ἑλλήνων σὺν κόσμῳ ναυμαχεόντων κατὰ τάξιν, τῶν δὲ βαρβάρων οὐ τεταγμένων ἔτι, οὔτε σὺν νόῳ ποιεόντων οὐδὲν, ἔμελλε τοιοῦτό σφι συνοίσεσθαι, οἷόνπερ ἀπέβη. καίτοι ἦσάν γε καὶ ἐγένοντο ταύτην τὴν ἡμέρην μακρῷ ἀμείνονες αὐτοὶ ἑωυτῶν, ἢ πρὸς Εὐβοίῃ, πᾶς τις προθυμεόμενος καὶ δειμαίνων Ξέρξην. ἐδόκεέ τε ἕκαστος ἑωυτὸν θεήσεσθαι βασιλέα. κατὰ μὲν δὴ τοὺς ἄλλους, οὐκ ἔχω μετεξετέρους εἰπεῖν ἀτρεκέως, ὡς ἕκαστοι τῶν βαρβάρων ἢ τῶν Ἑλλήνων ἠγωνίζοντο. κατὰ δὲ Ἀρτεμισίην, τάδε ἐγένετο, ἀπ' ὧν εὐδοκίμησε μᾶλλον ἔτι παρὰ βασιλέϊ. ἐπεὶ γὰρ ἐς θόρυβον πολλὸν ἀπίκετο τὰ βασιλέος πρήγματα, ἐν τούτῳ τῷ καιρῷ ἡ νηῦς ἡ Ἀρτεμισίης ἐδιώκετο ὑπὸ νηὸς ἀττικῆς. καὶ ἣ οὐκ ἔχουσα διαφυγεῖν, ἔμπροσθεν γὰρ αὐτῆς ἦσαν ἄλλαι νῆες φίλιαι, ἡ δὲ αὐτῆς πρὸς τῶν πολεμίων μάλιστα ἐτύγχανε ἐοῦσα, ἔδοξέ οἱ τόδε ποιῆσαι, τὸ καὶ συνήνεικε ποιησάσῃ. διωκομένη γὰρ ὑπὸ τῆς ἀττικῆς, φέρουσα ἐνέβαλε νηὶ φιλίῃ, ἀνδρῶν τε Καλυνδέων, καὶ αὐτοῦ ἐπιπλέοντος τοῦ Καλυνδέων βασιλέος Δαμασιθύμου. εἰ

μὲν καί τι νεῖκος πρὸς αὐτὸν ἐγεγόνεε ἔτι περὶ Ἑλλήσποντον ἐόντων, οὐ μέντοι ἔχω γε εἰπεῖν. οὔτε εἰ ἐκ προνοίης αὐτὰ ἐποίησε, οὔτε εἰ συνεκύρησε ἡ τῶν Καλυνδέων κατὰ τύχην παραπεσοῦσα νηῦς. ὡς δὲ ἐνέβαλέ τε καὶ κατέδυσε, εὐτυχίῃ χρησαμένη διπλᾶ ἑωυτὴν ἀγαθὰ ἐργάσατο. ὅ τε γὰρ τῆς Ἀττικῆς νεὸς τριήραρχος, ὡς εἶδέ μιν ἐμβάλλουσαν νηῒ ἀνδρῶν βαρβάρων, νομίσας τὴν νῆα τὴν Ἀρτεμισίης ἢ Ἑλληνίδα εἶναι, ἢ αὐτομολέειν ἐκ τῶν βαρβάρων, καὶ αὐτοῖσι ἀμύνειν, ἀποστρέψας, πρὸς ἄλλας ἐτράπετο. τοῦτο μὲν τοιοῦτο αὐτῇ συνήνεικε γενέσθαι διαφυγέειν τε, καὶ μὴ ἀπολέσθαι. τοῦτο δὲ συνέβη, ὥστε κακὸν ἐργασαμένην, ἀπὸ τούτων αὐτὴν μάλιστα εὐδοκιμῆσαι παρὰ Ξέρξῃ. λέγεται γὰρ βασιλῆα θηεύμενον, μαθεῖν τὴν νῆα ἐμβαλοῦσαν, καὶ δή τινα εἰπεῖν τῶν παρεόντων. δέσποτα, ὁρᾷς Ἀρτεμισίην ὡς εὖ ἀγωνίζεται, καὶ νῆα τῶν πολεμίων κατέδυσε; καὶ τὸν ἐπείρεσθαι, εἰ ἀληθέως ἐστὶ Ἀρτεμισίης τὸ ἔργον. καὶ τοὺς φάναι, σαφέως τὸ ἐπίσημον τῆς νηὸς ἐπισταμένους. τὴν δὲ διαφθαρεῖσαν, ἠπιστέατο εἶναι πολεμίην. τά τε γὰρ ἄλλα ὡς εἴρηται, αὐτῇ συνήνεικε ἐς εὐτυχίην γενόμενα, καὶ τὸ τῶν ἐκ τῆς Καλυνδικῆς νηὸς μηδένα ἀποσωθέντα κατήγορον γενέσθαι. Ξέρξην δὲ εἰπεῖν λέγεται πρὸς τὰ φραζόμενα, οἱ μὲν ἄνδρες γεγόνασί μοι γυναῖκες, αἱ δὲ γυναῖκες ἄνδρες. ταῦτα μὲν Ξέρξην φασὶν εἰπεῖν. ἐν δὲ τῷ πόνῳ τούτῳ ἀπὸ μὲν ἔθανε ὁ στρατηγὸς Ἀριαβίγνης ὁ Δαρείου, Ξέρξεω ἐὼν ἀδελφεός. ἀπὸ δὲ ἄλλοι πολλοί τε καὶ ὀνομαστοὶ Περσέων καὶ Μήδων καὶ τῶν ἄλλων συμμάχων, ὀλίγοι δέ τινες καὶ Ἑλλήνων. ἅτε γὰρ νέειν ἐπιστάμενοι, τοῖσι αἱ νέες διεφθείροντο, καὶ μὴ ἐν χειρῶν νόμῳ ἀπολλύμενοι, ἐς τὴν Σαλαμῖνα διένεον. τῶν δὲ βαρβάρων οἱ πολλοὶ ἐν τῇ θαλάσσῃ διεφθάρησαν, νέειν οὐκ ἐπιστάμενοι. ἐπεὶ δὲ αἱ πρῶται ἐς φυγὴν ἐτράποντο, ἐνθαῦτα αἱ πλεῖσται διεφθείροντο. οἱ γὰρ ὄπισθε τεταγμένοι ἐς τὸ ἔμπροσθε τῇσι νηυσὶ παριέναι πειρώμενοι, ὡς ἀποδεξόμενοί τι καὶ αὐτοὶ ἔργον βασιλέϊ, τῇσι σφετέρῃσι νηυσὶ φευγούσῃσι περιέπιπτον. ἐγένετο δὲ καὶ τόδε ἐν τῷ θορύβῳ τούτῳ. τῶν τινες Φοινίκων, τῶν αἱ νέες διεφθαρέατο, ἐλθόντες παρὰ βασιλῆα, διέβαλλον τοὺς Ἴωνας, ὡς δι' ἐκείνους ἀπολοίατο αἱ νέες, ὡς προδόντων. συνήνεικε ὦν οὕτω, ὥστε Ἰώνων τε τοὺς στρατηγοὺς μὴ ἀπολέσθαι, Φοινίκων τε τοὺς διαβαλόντας λαβεῖν τοιοῦτον μισθόν. ἔτι τούτων ταῦτα λεγόντων, ἐνέβαλε νηῒ Ἀττικῇ Σαμοθρηϊκίη νηῦς. ἥ τε δὴ Ἀττικὴ κατεδύετο, καὶ ἐπιφερομένη Αἰγιναίη νηῦς, κατέδυσε τῶν Σαμοθρηΐκων τὴν νῆα. ἅτε δὴ ἐόντες ἀκοντισταὶ οἱ Σαμοθρήϊκες, τοὺς ἐπιβάτας ἀπὸ τῆς καταδυσάσης νηὸς βάλλοντες ἀπήραξαν, καὶ ἐπέβησάν τε, καὶ ἔσχον αὐτήν. ταῦτα γενόμενα, τοὺς Ἴωνας ἐῤῥύσατο. ὡς γὰρ εἶδέ σφεας Ξέρξης ἔργον μέγα ἐργασαμένους, ἐτράπετο πρὸς τοὺς Φοίνικας, οἷα ὑπερλυπεόμενός τε, καὶ πάντας αἰτιώμενος. καὶ σφεων ἐκέλευσε τὰς κεφαλὰς ἀποταμεῖν, ἵνα μὴ αὐτοὶ κακοὶ γενόμενοι, τοὺς ἀμείνονας διαβάλλωσι. ὅκως γάρ τινα ἴδοι Ξέρξης τῶν ἑωυτοῦ ἔργον τι ἀποδεικνύμενον ἐν τῇ ναυμαχίῃ, κατήμενος ὑπὸ τῷ ὄρεϊ τῷ ἀντίον Σαλαμῖνος, τὸ καλέεται Αἰγάλεως, ἀνεπυνθάνετο τὸν ποιήσαντα, καὶ οἱ γραμματισταὶ ἀνέγραφον πατρόθεν τὸν τριήραρχον, καὶ τὴν πόλιν. πρὸς δὲ ἔτι καὶ προσεβάλετο φίλος ἐὼν Ἀριαράμνης ἀνὴρ Πέρσης παρεὼν, τούτου φοινικηΐου πάθεος. οἱ μὲν δὴ πρὸς τοὺς Φοίνικας ἐτράποντο. τῶν δὲ βαρβάρων ἐς φυγὴν τραπομένων, καὶ ἐκπλεόντων πρὸς τὸ Φάληρον, Αἰγινῆται ὑποστάντες ἐν τῷ πορθμῷ, ἔργα ἀπεδέξαντο λόγου ἄξια. οἱ μὲν γὰρ Ἀθηναῖοι ἐν τῷ θορύβῳ ἐκεράϊζον τάς τε ἀντισταμένας, καὶ τὰς φευγούσας τῶν νεῶν· οἱ δὲ Αἰγινῆται, τὰς ἐκπλεούσας. ὅκως δέ τινες τοὺς Ἀθηναίους διαφύγοιεν, φερόμενοι ἐσέπιπτον ἐς τοὺς Αἰγινήτας. ἐνθαῦτα συνεκύρεον νέες ἥ τε Θεμιστοκλέος διώκουσα νῆα, καὶ ἡ Πολυκρίτου τοῦ Κριοῦ, ἀνδρὸς Αἰγινήτεω, νηῒ ἐμβαλοῦσα Σιδωνίῃ, ἥπερ εἷλε τὴν προφυλάσσουσαν ἐπὶ Σκιάθῳ τὴν Αἰγιναίην, ἐπ' ἧς ἔπλεε Πυθέης ὁ Ἰσχένου, τὸν οἱ Πέρσαι κατακοπέντα, ἀρετῆς εἵνεκα εἶχον ἐν τῇ νηῒ ἐκπαγλεόμενοι, τὸν δὴ περιάγουσα ἅμα τοῖσι Πέρσῃσι ἥλω νηῦς ἡ Σιδωνίη, ὥστε Πυθέην οὕτω σωθῆναι ἐς Αἴγιναν. ὡς δὲ ἐσεῖδε τὴν νῆα τὴν Ἀττικὴν ὁ Πολύκριτος, ἔγνω τὸ σημήϊον ἰδὼν τῆς στρατηγίδος. καὶ βώσας τὸν Θεμιστοκλῆα, ἐπεκερτόμησε, ἐς τῶν Αἰγινητέων τὸν μηδισμὸν ὀνειδίζων. ταῦτα μέν νυν νηῒ ἐμβαλὼν ὁ Πολύκριτος, ἀπέῤῥιψε ἐς Θεμιστοκλῆα. οἱ δὲ βάρβαροι, τῶν αἱ νέες περιεγένοντο φεύγοντες, ἀπίκοντο ἐς Φάληρον ὑπὸ τὸν πεζὸν στρατόν. ἐν δὲ τῇ ναυμαχίῃ ταύτῃ, ἤκουσαν Ἑλλήνων ἄριστα Αἰγινῆται.

ἐπὶ δὲ Ἀθηναῖοι. ἀνδρῶν δὲ Πολύκριτός τε ὁ Αἰγινήτης, καὶ Ἀθηναῖος Εὐμένης τε ὁ Ἀναγυράσιος, καὶ Ἀμεινίης Παλληνεύς. ὃς καὶ Ἀρτεμισίην ἀπεδίωξε. εἰ μέν νυν ἔμαθε ὅτι ἐν ταύτῃ πλώει ἡ Ἀρτεμισίη, οὐκ ἂν ἐπαύσατο πρότερον ἢ εἷλέ μιν, ἢ καὶ αὐτὸς ἥλω. τοῖσι γὰρ Ἀθηναίων τριηράρχοισι παρακεκέλευστο. πρὸς δὲ καὶ ἄεθλον ἔκειτο μύριαι δραχμαί, ὃς ἄν μιν ζωὴν ἕλῃ. δεινὸν γάρ τι ἐποιεῦντο γυναῖκα ἐπὶ τὰς Ἀθήνας στρατεύεσθαι. αὕτη μὲν δή, ὡς πρότερον εἴρηται, διέφυγε. ἦσαν δὲ καὶ οἱ ἄλλοι, τῶν αἱ νέες περιεγεγόνεσαν ἐν τῷ Φαλήρῳ. Ἀδείμαντον δὲ τὸν Κορίνθιον στρατηγὸν λέγουσι Ἀθηναῖοι, αὐτίκα κατ' ἀρχάς ὡς συνέμισγον αἱ νέες, ἐκπλαγέντα τε, καὶ ὑπερδείσαντα, τὰ ἱστία ἀειράμενον, οἴχεσθαι φεύγοντα. ἰδόντας δὲ τοὺς Κορινθίους τὴν στρατηγίδα φεύγουσαν, ὡσαύτως οἴχεσθαι. ὡς δὲ ἄρα φεύγοντας γίνεσθαι τῆς Σαλαμινίης κατὰ τὸ ἱρὸν Ἀθηναίης Σκιράδος, περιπίπτειν σφι κέλητα θείῃ πομπῇ. τὸν οὔτε πέμψαντα φανῆναι οὐδένα, οὔτε τι τῶν ἀπὸ τῆς στρατιῆς εἰδόσι προσφέρεσθαι τοῖσι Κορινθίοισι. τῇδε δὲ συμβάλλονται εἶναι θεῖον τὸ πρῆγμα. ὡς γὰρ ἀγχοῦ γενέσθαι τῶν νεῶν, τοὺς ἀπὸ τοῦ κέλητος λέγειν τάδε, Ἀδείμαντε, σὺ μὲν ἀποστρέψας τὰς νέας, ἐς φυγὴν ὥρμησαι καταπροδοὺς τοὺς Ἕλληνας. οἱ δὲ καὶ δὴ νικῶσι, ὅσον αὐτοὶ ἠρῶντο ἐπικρατῆσαι τῶν ἐχθρῶν. ταῦτα λεγόντων, ἀπιστέειν γὰρ τὸν Ἀδείμαντον, αὖτις τάδε λέγειν, ὡς αὐτοὶ οἷοί τε εἶεν ἀγόμενοι ὅμηροι ἀποθνήσκειν, ἢν μὴ νικῶντες φαίνωνται οἱ Ἕλληνες. οὕτω δὴ ἀποστρέψαντα τὴν νέα, αὐτόν τε καὶ τοὺς ἄλλους ἐπ' ἐξεργασμένοισι ἐλθεῖν ἐς τὸ στρατόπεδον. τούτους μὲν τοιαύτη φάτις ἔχει ὑπὸ Ἀθηναίων. οὐ μέντοι αὐτοί γε Κορίνθιοι ὁμολογέουσι, ἀλλ' ἐν πρώτοισι σφέας αὐτοὺς τῆς ναυμαχίης νομίζουσι γενέσθαι. μαρτυρέει δέ σφι καὶ ἡ ἄλλη Ἑλλάς. Ἀριστείδης δὲ ὁ Λυσιμάχου, ἀνὴρ Ἀθηναῖος, τοῦ καὶ ὀλίγῳ τι πρότερον τούτων ἐμνήσθην ὡς ἀνδρὸς ἀρίστου, οὗτος ἐν τῷ θορύβῳ τούτῳ τῷ περὶ Σαλαμῖνα γενομένῳ, τάδε ἐποίεε. παραλαβὼν πολλοὺς τῶν ὁπλιτέων, οἳ παρατετάχατο παρὰ τὴν ἀκτὴν τῆς Σαλαμινίης χώρης, γένος ἐόντες Ἀθηναῖοι, ἐς τὴν Ψυττάλειαν νῆσον ἀπέβησε ἄγων, οἳ τοὺς Πέρσας τοὺς ἐν τῇ νησῖδι ταύτῃ κατεφόνευσαν πάντας. ὡς δὲ ἡ ναυμαχίη διελέλυτο, κατειρύσαντες ἐς τὴν Σαλαμῖνα οἱ Ἕλληνες τῶν ναυηγίων, ὅσα ταύτῃ ἐτύγχανε ἔτι ἐόντα, ἕτοιμοι ἦσαν ἐς ἄλλην ναυμαχίην, ἐλπίζοντες τῇσι περιεούσῃσι νηυσὶ ἔτι χρήσεσθαι βασιλῆα. τῶν δὲ ναυηγίων πολλὰ ὑπολαβὼν ὁ ἄνεμος ζέφυρος, ἔφερε τῆς Ἀττικῆς ἐπὶ τὴν ἠιόνα τὴν καλεομένην Κωλιάδα, ὥστε ἀποπλῆσαι τὸν χρησμόν, τόν τε ἄλλον πάντα τὸν περὶ τῆς ναυμαχίης ταύτης εἰρημένον Βάκιδι καὶ Μουσαίῳ, καὶ δὴ καὶ κατὰ τὰ ναυήγια τὰ ταύτῃ ἐξενειχθέντα τὸ εἰρημένον πολλοῖσι ἔτεσι, πρότερον τούτων ἐν χρησμῷ, Λυσιστράτῳ Ἀθηναίῳ ἀνδρὶ χρησμολόγῳ· τὸ ἐλελήθεε πάντας τοὺς Ἕλληνας. Κωλιάδες δὲ γυναῖκες ἐρετμοῖσι φρίξουσι. τοῦτο δὲ ἔμελλε ἀπελάσαντος βασιλῆος ἔσεσθαι. Ξέρξης δὲ ὡς ἔμαθε τὸ γεγονὸς πάθος, δείσας μή τις τῶν Ἰώνων ὑποθῆται τοῖσι Ἕλλησι ἢ αὐτοὶ νοήσωσι πλώειν ἐς τὸν Ἑλλήσποντον, λύσοντες τὰς γεφύρας, καὶ ἀπολαμφθεὶς ἐν τῇ Εὐρώπῃ ἀπολέσθαι κινδυνεύσῃ, δρησμὸν ἐβούλευε. θέλων δὲ μὴ ἐπίδηλος εἶναι μήτε τοῖσι Ἕλλησι, μήτε τοῖσι ἑωυτοῦ, ἐς τὴν Σαλαμῖνα χῶμα ἐπειρᾶτο διαχοῦν. γαυλούς τε φοινικηίους συνέδεε, ἵνα ἀντί τε σχεδίης ἔωσι, καὶ τείχεος. ἀρτέετό τε ἐς πόλεμον, ὡς ναυμαχίην ἄλλην ποιησόμενος. ὁρέοντες δέ μιν πάντες οἱ ἄλλοι ταῦτα πρήσσοντα, εὖ ἠπιστέατο ὡς ἐκ παντὸς νόου παρεσκεύασται μένων πολεμήσειν. Μαρδόνιον δ' οὐδὲν τούτων ἐλάνθανε, ὡς μάλιστα ἔμπειρον ἐόντα τῆς ἐκείνου διανοίης. ταῦτά τε ἅμα Ξέρξης ἐποίεε, καὶ ἔπεμπε ἐς Πέρσας ἀγγελέοντα τὴν παρεοῦσάν σφι συμφορήν. τούτων δὲ τῶν ἀγγέλων ἐστὶ οὐδὲν ὅ, τι θᾶσσον παραγίνεται θνητὸν ἐόν. οὕτω τοῖσι Πέρσῃσι ἐξεύρηται τοῦτο. λέγουσι γάρ, ὡς ὅσων ἂν ἡμερέων ἡ πᾶσα ὁδός, τοσοῦτοι ἵπποι τε καὶ ἄνδρες διεστᾶσι κατὰ ἡμερησίην ὁδὸν ἑκάστην τεταγμένοι. τοὺς οὔτε νιφετός, οὐκ ὄμβρος, οὐ καῦμα, οὐ νὺξ ἔργει μὴ οὐ κατανύσαι τὸν προκείμενον ἑωυτῷ δρόμον τὴν ταχίστην. ὁ μὲν δὴ πρῶτος δραμών, παραδιδοῖ τὰ ἐντεταλμένα τῷ δευτέρῳ. ὁ δὲ δεύτερος, τῷ τρίτῳ. τὸ δὲ ἐνθεῦτεν ἤδη κατ' ἄλλον διεξέρχεται παραδιδόμενα, κατάπερ Ἕλλησι ἡ λαμπαδηφορίη, τὴν τῷ Ἡφαίστῳ ἐπιτελέουσι. τοῦτο τὸ δράμημα τῶν ἵππων καλέουσι Πέρσαι ἀγγαρήιον. ἡ μὲν δὴ πρώτη ἐς Σοῦσα ἀγγελίη ἀπικομένη ὡς ἔχοι Ἀθήνας Ξέρξης, ἔτερψε οὕτω δή τι Περσέων τοὺς ὑπολειφθέντας, ὡς τάς τε ὁδοὺς μυρσίνῃσι πάσας ἐστόρεσαν,

καὶ ἐθυμίων θυμιήματα, καὶ αὐτοὶ ἦσαν ἐν θυσίῃσί τε καὶ εὐπαθείῃσι. ἡ δὲ δευτέρη σφι ἀγγελίη ἐπεξελθοῦσα, συνέχεε οὕτω, ὥστε τοὺς κιθῶνας κατερρήξαντο πάντες, βοῇ τε, καὶ οἰμωγῇ ἐχρέωντο ἀπλέτῳ, Μαρδόνιον ἐν αἰτίῃ τιθέντες. οὐκ οὕτω δὲ περὶ τῶν νεῶν ἀχθόμενοι ταῦτα οἱ Πέρσαι ἐποίευν, ὡς περὶ αὐτῷ Ξέρξῃ δειμαίνοντες. καὶ περὶ Πέρσας μὲν ἦν ταῦτα τὸν πάντα μεταξὺ χρόνον γενόμενον, μέχρι οὗ Ξέρξης αὐτός σφεας ἀπικόμενος ἔπαυσε. Μαρδόνιος δὲ ὁρέων μὲν Ξέρξην συμφορὴν μεγάλην ἐκ τῆς ναυμαχίης ποιεύμενον, ὑποπτεύων δὲ αὐτὸν δρησμὸν βουλεύειν ἐκ τῶν Ἀθηνέων, φροντίσας πρὸς ἑωυτὸν ὡς δώσει δίκην, ἀναγνώσας βασιλέα στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα, καί οἱ κρέσσον εἴη ἀνακινδυνεῦσαι, ἢ κατεργάσασθαι τὴν Ἑλλάδα, ἢ αὐτὸν καλῶς τελευτῆσαι τὸν βίον ὑπὲρ μεγάλων αἰωρηθέντα, πλέον μέντοι ἔφερέ οἱ ἡ γνώμη κατεργάσεσθαι τὴν Ἑλλάδα. λογισάμενος ὦν ταῦτα, προσέφερε τὸν λόγον τόνδε· Δέσποτα, μήτε λυπέο, μήτε συμφορὴν μηδεμίην μεγάλην ποιεῦ, τοῦδε τοῦ γεγονότος εἵνεκα πρήγματος. οὐ γὰρ ξύλων ἀγὼν ὁ τὸ πᾶν φέρων ἐστὶ ἡμῖν, ἀλλ' ἀνδρῶν τε καὶ ἵππων. σοὶ δὲ οὔτε τις τούτων τῶν τὸ πᾶν σφι ἤδη δοκεόντων κατεργάσθαι, ἀποβὰς ἀπὸ τῶν νεῶν πειρήσεται ἀντιωθῆναι, οὔτ' ἐκ τῆς ἠπείρου τῆσδε. οἵ τε ἡμῖν ἠντιώθησαν, ἔδοσαν δίκας. εἰ μέν νυν δοκέει, αὐτίκα πειρώμεθα τῆς Πελοποννήσου. εἰ δὲ καὶ δοκέει ἐπισχεῖν, παρέχει ποιέειν ταῦτα. μὴ δὲ δυσθύμεε. οὐ γὰρ ἔστι Ἕλλησι οὐδεμία ἔκδυσις μὴ οὐ δόντας λόγον τῶν ἐποίησαν νῦν τε καὶ πρότερον εἶναι σοὺς δούλους. μάλιστα μέν νυν ταῦτα ποίεε. εἰ δ' ἄρα τοι βεβούλευται αὐτὸν ἀπελαύνοντα ἀπάγειν τὴν στρατιήν, ἄλλην ἔχω καὶ ἐκ τῶνδε βουλήν. σὺ Πέρσας, βασιλεῦ, μὴ ποιήσῃς καταγελάστους γενέσθαι Ἕλλησι. οὐδὲν γὰρ ἐν Πέρσῃσί τοι δεδήληται τῶν πρηγμάτων. οὐδ' ὁρᾷς ὅκου ἐγενόμεθα ἄνδρες κακοί. εἰ δὲ Φοίνικές τε, καὶ Αἰγύπτιοι, καὶ Κύπριοί τε, καὶ Κίλικες κακοὶ ἐγένοντο, οὐδὲν πρὸς Πέρσας τοῦτο προσήκει τὸ πάθος. ἤδη ὦν ἐπειδὴ οὐ Πέρσαι τοι αἴτιοί εἰσι, ἐμοὶ πείθεο. εἴ τοι δέδοκται μὴ παραμένειν, σὺ μὲν ἐς ἤθεα τὰ σεωυτοῦ ἀπέλαυνε τῆς στρατιῆς ἀπάγων τὸ πολλόν. ἐμὲ δὲ σοὶ χρὴ τὴν Ἑλλάδα παρασχεῖν δεδουλωμένην, τριήκοντα μυριάδας τοῦ στρατοῦ ἀπολεξάμενον. ταῦτα ἀκούσας Ξέρξης ὡς ἐκ κακῶν, ἐχάρη τε, καὶ ἥσθη. πρὸς Μαρδόνιόν τε βουλευσάμενος ἔφη ὑποκρινέεσθαι, ὁκότερον ποιήσει τούτων. ὡς δὲ ἐβουλεύετο ἅμα Περσέων τοῖσι ἐπικλήτοισι, ἔδοξέ οἱ καὶ Ἀρτεμισίην ἐπὶ συμβουλὴν μεταπέμψασθαι, ὅτι πρότερον ἐφαίνετο μούνη νοέουσα τὰ ποιητέα ἦν. ὡς δὲ ἀπίκετο ἡ Ἀρτεμισίη, μεταστησάμενος τοὺς ἄλλους, τούς τε συμβούλους Περσέων, καὶ τοὺς δορυφόρους, ἔλεξε Ξέρξης τάδε· Κελεύει με Μαρδόνιος μένοντα αὐτοῦ, ἀποπειρᾶσθαι τῆς Πελοποννήσου, λέγων ὥς μοι Πέρσαι τε καὶ ὁ πεζὸς στρατὸς οὐδενὸς μεταίτιοι πάθεός εἰσι, ἀλλὰ βουλομένοισί σφι γένοιτ' ἂν ἀπόδεξις. ἐμὲ ὦν ἢ ταῦτα κελεύει ποιέειν, ἢ αὐτὸς ἐθέλει τριήκοντα μυριάδας ἀπολεξάμενος τοῦ στρατοῦ, παρασχεῖν μοι τὴν Ἑλλάδα δεδουλωμένην. αὐτὸν δέ με κελεύει ἀπελαύνειν σὺν τῷ λοιπῷ στρατῷ ἐς ἤθεα τὰ ἐμά. σὺ ὦν ἐμοί, καὶ γὰρ περὶ τῆς ναυμαχίης εὖ συνεβούλευσας τῆς γενομένης οὐκ ἐῶσα ποιέεσθαι, νῦν τε συμβούλευσον, ὁκότερα ποιέων ἐπιτύχω εὖ βουλευσάμενος. ὁ μὲν ταῦτα συνεβουλεύετο. ἡ δὲ λέγει τάδε· Βασιλεῦ, χαλεπὸν μὲν ἐστὶ συμβουλευομένῳ τυχεῖν τὰ ἄριστα ἅπασαν. ἐπὶ μέντοι τοῖσι κατήκουσι πρήγμασι, δοκέει μοι αὐτὸν μέν σε ἀπελαύνειν ὀπίσω. Μαρδόνιον δέ, εἰ ἐθέλει τε καὶ ὑποδέκεται ταῦτα ποιήσειν, αὐτοῦ καταλιπεῖν σὺν τοῖσι ἐθέλει. τοῦτο μὲν γὰρ ἢν καταστρέψηται τά φησι ἐθέλειν, καί οἱ προχωρήσῃ τὰ νοέων λέγει, σὸν τὸ ἔργον, ὦ δέσποτα, γίνεται. οἱ γὰρ σοὶ δοῦλοι κατεργάσαντο. τοῦτο δὲ ἢν τὰ ἐναντία τῆς Μαρδονίου γνώμης γένηται, οὐδεμία συμφορὴ μεγάλη ἔσται, σέο τε περιεόντος, καὶ ἐκείνων τῶν πρηγμάτων περὶ οἶκον τὸν σόν. ἢν γὰρ σύ τε περιῇς, καὶ οἶκος ὁ σός, πολλοὺς πολλάκις ἀγῶνας δραμέονται περὶ σφέων αὐτέων οἱ Ἕλληνες. Μαρδονίου δὲ ἤν τι πάθῃ, λόγος οὐδεὶς γίνεται. οὐδέ τι νικῶντες οἱ Ἕλληνες νικῶσι, δοῦλον σὸν ἀπολέσαντες. σὺ δὲ τῶν εἵνεκα τὸν στόλον ἐποιήσαο, πυρώσας τὰς Ἀθήνας, ἀπελᾷς. ἥσθη τε δὴ τῇ συμβουλῇ Ξέρξης. λέγουσα γὰρ ἐπετύγχανε τά περ αὐτὸς ἐνόεε. οὐδὲ γὰρ εἰ πάντες καὶ πᾶσαι συνεβούλευον αὐτῷ μένειν, ἔμενε ἂν δοκέειν ἐμοί. οὕτω καταρρωδήκεε. ἐπαινέσας δὲ τὴν Ἀρτεμισίην, ταύτην μὲν ἀποστέλλει ἄγουσαν αὐτοῦ τοὺς παῖδας ἐς Ἔφεσον. νόθοι γάρ τινές οἱ παῖδες οἱ συνείποντο. συνέπεμπε δὲ τοῖσι παισὶ φύλακον

Ἑρμότιμον, γένος μὲν ἐόντα Πηδασέα, φερόμενον δὲ οὐ τὰ δεύτερα τῶν εὐνούχων παρὰ βα-
σιλέϊ. οἱ δὲ Πηδασέες οἰκέουσι ὑπὲρ Ἁλικαρνησσοῦ. ἐν δὲ τοῖσι Πηδασεῦσι τούτοισι, τοιόνδε
φέρεται πρῆγμα γίνεσθαι. ἐπεὰν τοῖσι ἀμφικτύοσι πᾶσι, τοῖσι ἀμφὶ ταύτης οἰκέουσι τῆς πό-
λιος μέλλῃ τι ἐντὸς χρόνου ἔσεσθαι χαλεπὸν, τότε ἡ ἱρείη αὐτόθι τῆς Ἀθηναίης φύει πώγω-
να μέγαν. τοῦτο δέ σφι δὶς ἤδη ἐγένετο. ἐκ τούτων δὴ τῶν Πηδασέων, ὁ Ἑρμότιμος ἦν, τῷ
μεγίστη τίσις ἤδη ἀδικηθέντι ἐγένετο πάντων τῶν ἡμεῖς ἴδμεν. ἁλόντα γὰρ αὐτὸν ὑπὸ πο-
λεμίων, καὶ πωλεόμενον, ὠνέεται Πανιώνιος ἀνὴρ Χῖος. ὃς τὴν ζόην κατεστήσατο ἀπ' ἔρ-
γων ἀνοσιωτάτων. ὅκως γὰρ κτήσαιτο παῖδας εἴδεος ἐπαμμένους, ἐκτάμνων, ἀγινέων ἐπώ-
λεε ἐς Σάρδις τε καὶ Ἔφεσον χρημάτων μεγάλων. παρὰ γὰρ τοῖσι βαρβάροισι τιμιώτεροί εἰ-
σι οἱ εὐνοῦχοι πίστιος εἵνεκα τῆς πάσης τῶν ἐνορχέων. ἄλλους τε δὴ ὁ Πανιώνιος ἐξέταμε πολ-
λοὺς, ἅτε ποιεύμενος ἐκ τούτων τὴν ζόην, καὶ δὴ καὶ τοῦτον. καὶ οὐ γὰρ τὰ πάντα ἐδυστύ-
χεε ὁ Ἑρμότιμος, ἀπικνέεται ἐκ τῶν Σαρδίων παρὰ βασιλῆα μετ' ἄλλων δώρων. χρόνου δὲ
προϊόντος, πάντων τῶν εὐνούχων ἐτιμήθη μάλιστα παρὰ Ξέρξῃ. ὡς δὲ τὸ στράτευμα τὸ Περσι-
κὸν ὥρμα ὁ βασιλεὺς ἐπὶ τὰς Ἀθήνας ἐὼν ἐν Σάρδισι, ἐνθαῦτα καταβὰς κατὰ δή τι πρῆ-
γμα ὁ Ἑρμότιμος ἐς γῆν τὴν Μυσίην, τὴν Χῖοι μὲν νέμονται, Ἀταρνεὺς δὲ καλέεται, εὑ-
ρίσκει τὸν Πανιώνιον ἐνθαῦτα. ἐπιγνοὺς δὲ ἔλεγε πρὸς αὐτὸν πολλοὺς καὶ φιλίους λόγους.
πρῶτα μὲν οἱ καταλέγων ὅσα αὐτὸς δι' ἐκεῖνον ἔχοι ἀγαθά. δεύτερα δέ οἱ ὑπισχνεύμενος
ἀντὶ τούτων, ὅσα μιν ἀγαθὰ ποιήσειεν, ἢν κομίσας τοὺς παῖδας οἰκέῃ ἐκείνῃ. ὥστε ὑποδε-
ξάμενον ἄσμενον τοὺς λόγους τὸν Πανιώνιον, κομίσαι τὰ τέκνα καὶ τὴν γυναῖκα. ὡς δὲ ἄρα
πανοικίῃ μιν περιέλαβε, ἔλεγε ὁ Ἑρμότιμος τάδε. ὦ πάντων ἀνδρῶν ἤδη μάλιστα ἀπ' ἔρ-
γων ἀνοσιωτάτων τὸν βίον κτησάμενε, τί σε ἐγὼ κακὸν ἢ αὐτὸς, ἢ τῶν ἐμῶν τίς σε προγόνων
ἐργάσατο, ἢ σὲ, ἢ τῶν σῶν τινα, ὅτι με ἀντ' ἀνδρὸς ἐποίησας τὸ μηδὲν εἶναι; ἐδόκεές τε θεοὺς
λήσειν, οἷα ἐμηχανῶ τότε. οἵ σε ποιήσαντα ἀνόσια, νόμῳ δικαίῳ χρεώμενοι ὑπήγαγον ἐς
χεῖρας τὰς ἐμάς. ὥστε σε μὴ μέμψασθαι τὴν ἀπ' ἐμέο τοι ἐσομένην δίκην. ὡς δέ οἱ ταῦτα ὠνεί-
δισε, ἀχθέντων τῶν παίδων ἐς ὄψιν, ἠναγκάζετο ὁ Πανιώνιος τῶν ἑωυτοῦ παίδων τεσσέ-
ρων ἐόντων, τὰ αἰδοῖα ἀποτάμνειν. ἀναγκαζόμενος δὲ ἐποίεε ταῦτα. αὐτοῦ τε, ὡς ταῦτα ἐρ-
γάσατο, οἱ παῖδες ἀναγκαζόμενοι, ἀπέταμνον. Πανιώνιον μὲν νυν οὕτω περιῆλθε ἥ τε τί-
σις, καὶ ὁ Ἑρμότιμος. Ξέρξης δὲ ὡς τοὺς παῖδας Ἀρτεμισίῃ ἐπέτρεψε ἀπάγειν ἐς Ἔφεσον,
καλέσας Μαρδόνιον, ἐκέλευσέ μιν τῆς στρατιῆς διαλέγειν τοὺς ἂν βούληται, καὶ ποιέειν τοῖσι
λόγοισι τὰ ἔργα πειρώμενον ὅμοια. ταύτην μὲν τὴν ἡμέρην ἐς τοσοῦτον ἐγίνετο. τῆς δὲ νυ-
κτὸς κελεύσαντος βασιλῆος, τὰς νέας οἱ στρατηγοὶ ἐκ τοῦ Φαλήρου ἀπῆγον ὀπίσω ἐς τὸν Ἑλ-
λήσποντον ὡς τάχεος εἶχε ἕκαστος, διαφυλαξούσας τὰς σχεδίας πορευθῆναι βασιλῆα. ἐπεὶ
δὲ ἀγχοῦ ἦσαν Ζωστῆρος πλώοντες οἱ βάρβαροι, ἀνατείνουσι γὰρ ἄκραι λεπταὶ τῆς ἠπείρου ταύ-
της, ἔδοξάν τε νέας εἶναι, καὶ ἔφευγον ἐπὶ πολλόν. χρόνῳ δὲ μαθόντες, ὅτι οὐ νέες εἶεν, ἀλλ' ἄ-
κραι, συλλεχθέντες ἐκομίζοντο. ὡς δὲ ἡμέρη ἐγίνετο, ὁρέοντες οἱ Ἕλληνες κατὰ χώρην μέ-
νοντα τὸν στρατὸν τὸν πεζὸν, ἤλπιζον καὶ τὰς νέας εἶναι περὶ Φάληρον. ἐδόκεόν τε ναυμαχή-
σειν σφέας, παραρτέοντό τε, ὡς ἀλεξησόμενοι. ἐπεὶ δὲ ἐπύθοντο τὰς νέας οἰχωκυίας, αὐτί-
κα μετὰ ταῦτα ἐδόκεε ἐπιδιώκειν. τὸν μέν νυν ναυτικὸν τὸν Ξέρξεω στρατὸν, οὐκ ἐπεῖδον
διώξαντες μέχρι Ἄνδρου. ἐς δὲ τὴν Ἄνδρον ἀπικόμενοι, ἐβουλεύοντο. Θεμιστοκλέης μέν νυν γνώ-
μην ἀπεδείκνυτο διὰ νήσων τραπομένους, καὶ ἐπιδιώξαντας τὰς νέας, πλώειν ἰθέως ἐπὶ
τὸν Ἑλλήσποντον, λύσοντας τὰς γεφύρας. Εὐρυβιάδης δὲ τὴν ἐναντίην ταύτῃ γνώμην ἐτί-
θετο, λέγων ὡς εἰ λύσουσι τὰς σχεδίας, τοῦτ' ἂν μέγιστον πάντων σφέας κακῶν τὴν Ἑλλάδα ἐρ-
γάσαιτο. εἰ γὰρ ἀναγκασθείη ἀπολαμφθεὶς ὁ Πέρσης μένειν ἐν τῇ Εὐρώπῃ, πειρῷτ' ἂν ἡσυ-
χίην μὴ ἄγειν, ὡς ἄγοντι μὲν οἱ ἡσυχίην, οὔτε τι προχωρέειν οἷόν τε ἔσαι τῶν πρηγμάτων, οὔ-
τε τις κομιδὴ τὸ ὀπίσω φανήσεται, λιμῷ τε οἱ ἡ στρατιὴ διαφθερέεται. ἐπιχειρέοντι δὲ αὐ-
τῷ καὶ ἔργου ἐχομένῳ, πάντα τὰ κατὰ τὴν Εὐρώπην οἷά τε ἔσαι προσχωρῆσαι κατὰ πόλιάς
τε, καὶ κατὰ ἔθνεα, ἤτοι ἁλισκομένων γε, ἢ πρὸ τούτου ὁμολογεόντων, τροφήν τε ἕξειν σφέας τὸν
ἐπέτεον αἰεὶ τὸν Ἑλλήνων καρπόν. ἀλλὰ δοκέειν γὰρ νικηθέντα τῇ ναυμαχίῃ οὐ μενέειν ἐν

τῇ Εὐρώπῃ τὸν Πέρσεα, κατέον ὦν εἶναι φεύγειν ἐς ὃ ἔλθῃ φεύγων ἐς τὴν ἑωυτοῦ. τὸ ἐνθεῦτεν δὲ περὶ τῆς ἐκείνου ποιέεσθαι ἤδη τὸν ἀγῶνα ἐκέλευε. ταύτης δὲ εἴχοντο τῆς γνώμης καὶ Πελοποννησίων τῶν ἄλλων οἱ στρατηγοί. ὡς δὲ ἔμαθε ὅτι οὐ πείσει τούς γε πολλοὺς πλώειν ἐς τὸν Ἑλλήσποντον ὁ Θεμιστοκλέης, μεταβαλὼν πρὸς τοὺς Ἀθηναίους, οὗτοι γὰρ μάλιστα ἐκπεφευγότων περιημέκτεον, ὡρμέατό τε ἐς τὸν Ἑλλήσποντον πλώειν, καὶ ἐπὶ σφέων αὐτῶν βαλλόμενοι, εἰ οἱ ἄλλοι μὴ βουλοίατο, ἔλεγέ σφι τάδε. καὶ αὐτὸς ἤδη πολλοῖσι παρεγενόμην, καὶ πολλῷ πλέω ἀκήκοα τοιάδε γενέσθαι, ἄνδρας ἐς ἀναγκαίην ἀπειληθέντας, νενικημένους ἀναμάχεσθαί τε καὶ ἀναλαμβάνειν τὴν προτέρην κακότητα. ἡμεῖς δὲ εὕρημα γὰρ εὑρήκαμεν ἡμέας τε αὐτοὺς καὶ τὴν Ἑλλάδα, νέφος τοσοῦτον ἀνθρώπων ἀνωσάμενοι, μὴ διώκωμεν ἄνδρας φεύγοντας. τάδε γὰρ οὐκ ἡμεῖς κατεργασάμεθα, ἀλλὰ θεοί τε καὶ ἥρωες, οἳ ἐφθόνησαν ἄνδρα ἕνα τῆς τε Ἀσίης καὶ τῆς Εὐρώπης βασιλεῦσαι, ἐόντα ἀνόσιόν τε καὶ ἀτάσθαλον. ὃς τά τε ἱρὰ καὶ τὰ ἴδια ἐν ὁμοίῳ ἐποιέετο, ἐμπιπράς τε καὶ καταβάλλων τῶν θεῶν τὰ ἀγάλματα. ὃς καὶ τὴν θάλασσαν ἀπεμαστίγωσε, πέδας τε κατῆκε. ἀλλ᾽ εὖ γὰρ ἔχει ἐς τὸ παρεὸν ἡμῖν, νῦν μὲν ἐν τῇ Ἑλλάδι καταμείναντες, ἡμέων τε αὐτῶν ἐπιμεληθῶμεν, καὶ τῶν οἰκετέων, καί τις οἰκίην τε ἀναπλασάσθω, καὶ σπόρου ἀνακῶς ἐχέτω, παντελέως ἀπελάσας τὸν βάρβαρον. ἅμα δὲ τῷ ἔαρι καταπλέωμεν ἐπὶ Ἑλλησπόντου καὶ Ἰωνίης. ταῦτα ἔλεγε, ἀποθήκην μέλλων ποιήσεσθαι ἐς τὸν Πέρσεα, ἵνα ἢν ἄρα τί μιν καταλαμβάνῃ πρὸς Ἀθηναίων πάθος, ἔχῃ ἀποστροφήν· τά περ ὦν καὶ ἐγένετο. Θεμιστοκλέης ταῦτα μὲν λέγων, διέβαλε, Ἀθηναῖοι δὲ ἐπείθοντο. ἐπειδὴ γὰρ καὶ πρότερον δεδογμένος εἶναι σοφὸς, ἐφάνη ἐὼν ἀληθέως σοφός τε καὶ εὔβουλος, πάντως ἕτοιμοι ἦσαν λέγοντι πείθεσθαι. ὡς δὲ οὗτοί οἱ ἀνεγνωσμένοι ἦσαν, αὐτίκα μετὰ ταῦτα ὁ Θεμιστοκλέης ἄνδρας ἀπέπεμπε ἔχοντας πλοῖον, τοῖσι ἐπίστευε σιγᾶν ἐς πᾶσαν βάσανον ἀπικνεομένοισι, τὰ αὐτὸς ἐνετείλατο βασιλέϊ φράσαι. τῶν καὶ Σίκιννος ὁ οἰκέτης αὖτις ἐγένετο. οἳ ἐπειδὴ ἀπίκοντο πρὸς τὴν Ἀττικὴν, οἱ μὲν κατέμενον ἐπὶ τῷ πλοίῳ. Σίκιννος δὲ ἀναβὰς παρὰ Ξέρξεα, ἔλεγε τάδε· Ἔπεμψέ με Θεμιστοκλέης ὁ Νεοκλέος, στρατηγὸς μὲν Ἀθηναίων, ἀνὴρ δὲ τῶν συμμάχων πάντων ἄριστος καὶ σοφώτατος, φράσοντά τοι, ὅτι Θεμιστοκλέης ὁ Ἀθηναῖος, σοὶ βουλόμενος ὑπουργέειν, ἔσχε τοὺς Ἕλληνας τὰς νέας βουλομένους διώκειν, καὶ τὰς ἐν Ἑλλησπόντῳ γεφύρας λύειν. καὶ νῦν κατ᾽ ἡσυχίην πολλὴν κομίζεο. οἱ μὲν ταῦτα σημήναντες, ἀπέπλεον ὀπίσω. οἱ δὲ Ἕλληνες ἐπείτε σφι ἀπέδοξε μήτ᾽ ἐπιδιώκειν ἔτι προσωτέρω τῶν βαρβάρων τὰς νέας, μήτε πλώειν ἐς τὸν Ἑλλήσποντον λύσοντας τὸν πόρον, τὴν Ἄνδρον περιεκατέατο, ἐξελεῖν ἐθέλοντες. πρῶτοι γὰρ Ἄνδριοι νησιωτέων χρήματα αἰτηθέντες πρὸς Θεμιστοκλέος, οὐκ ἔδοσαν, ἀλλὰ προϊσχομένου Θεμιστοκλέος λόγον τόνδε, ὡς ἥκοιεν Ἀθηναῖοι περὶ ἑωυτοὺς ἔχοντες δύο θεοὺς μεγάλους, πειθώ τε καὶ ἀναγκαίην, οὕτω τέ σφι κάρτα δοτέα εἶναι χρήματα. ὑπεκρίναντο πρὸς ταῦτα λέγοντες, ὡς κατὰ λόγον ἦσαν ἄρα αἱ Ἀθῆναι μεγάλαι τε καὶ εὐδαίμονες, αἳ καὶ θεῶν χρηστῶν ἥκοιεν εὖ, ἐπεὶ Ἀνδρίους γε εἶναι γεωπείνας ἐς τὰ μάλιστα ἀνήκοντας. καὶ θεοὺς δύο ἀχρήστους οὐκ ἐκλείπειν σφέων τὴν νῆσον, ἀλλ᾽ αἰεὶ φιλοχωρέειν, πενίην τε καὶ ἀμηχανίην. καὶ τούτων τῶν θεῶν ἐπηβόλους ἐόντας Ἀνδρίους, οὐ δώσειν χρήματα. οὐδέ κοτε γὰρ τῆς ἑωυτῶν ἀδυναμίης τὴν Ἀθηναίων δύναμιν εἶναι κρέσσω. οὗτοι μὲν δὴ ταῦτα ὑποκρινάμενοι, καὶ οὐ δόντες χρήματα ἐπολιορκέοντο. Θεμιστοκλέης δὲ, οὐ γὰρ ἐπαύετο πλεονεκτέων, ἐσπέμπων ἐς τὰς ἄλλας νήσους ἀπειλητηρίους λόγους, αἴτεε χρήματα διὰ τῶν αὐτῶν ἀγγέλων, χρεώμενος λόγοισι, τοῖσι καὶ πρὸς Ἀνδρίους ἐχρήσατο, λέγων, ὡς εἰ μὴ δώσουσι τὸ αἰτεόμενον, ἐπάξει τὴν στρατιὴν τῶν Ἑλλήνων, καὶ πολιορκέων ἐξαιρήσει. λέγων ταῦτα, συνέλεγε χρήματα μεγάλα παρὰ Καρυστίων τε καὶ Παρίων. οἳ πυνθανόμενοι τήν τε Ἄνδρον ὡς πολιορκέοιτο, διότι ἐμήδισε, καὶ Θεμιστοκλέα ὡς εἴη ἐν αἴνῃ μεγίστῃ τῶν στρατηγῶν, δείσαντες ταῦτα, ἔπεμπον χρήματα. εἰ δὲ δή τινες καὶ ἄλλοι ἔδοσαν νησιωτέων, οὐκ ἔχω εἰπεῖν. δοκέω δὲ τινὰς καὶ ἄλλους δοῦναι, καὶ οὐ τούτους μούνους. καίτοι Καρυστίοισί γε οὐδὲν τούτου εἵνεκα τοῦ κακοῦ ὑπερβολὴ ἐγένετο. Πάριοι δὲ Θεμιστοκλέα χρήμασι ἱλασάμενοι, διέφυγον τὸ στράτευμα. Θεμιστοκλέης μέν νυν ἐξ Ἄνδρου ὁρμεώμενος, χρήματα παρὰ νησιωτέων ἐκτᾶτο λάθρῃ τῶν ἄλλων στρατηγῶν. οἱ δ᾽ ἀμφὶ Ξέρξεα

ξεα ἐπισχόντες ὀλίγας ἡμέρας μετὰ τὴν ναυμαχίην, ἐξήλαυνον ἐς Βοιωτοὺς τὴν αὐτὴν ὁδόν. ἔδοξε γὰρ Μαρδονίῳ, ἅμα μὲν προπέμψαι βασιλέα, ἅμα δὲ ἀνωρίην εἶναι τοῦ ἔτεος πολεμέειν. χειμερίσαι δὲ ἄμεινον εἶναι ἐν Θετταλίῃ, καὶ ἔπειτα ἅμα τῷ ἔαρι πειρᾶσθαι τῆς Πελοποννήσου. ὡς δὲ ἀπίκατο ἐς τὴν Θεσσαλίην, ἐνθαῦτα Μαρδόνιος ἐξελέγετο πρώτους μὲν Πέρσας πάντας τοὺς ἀθανάτους καλεομένους, πλὴν Ὑδάρνεος τοῦ στρατηγοῦ. οὗτος γὰρ οὐκ ἔφη λείψεσθαι βασιλέος. μετὰ δὲ τῶν ἄλλων Περσέων τοὺς θωρηκοφόρους, καὶ τὴν ἵππον τὴν χιλίην. καὶ Μήδους τε, καὶ Σάκας, καὶ Βακτρίους, καὶ Ἰνδοὺς, καὶ τὸν πεζὸν, καὶ τὴν ἄλλην ἵππον. ταῦτα μὲν ἔθνεα ὅλα εἵλετο. ἐκ δὲ τῶν ἄλλων συμμάχων ἐξελέγετο κατ' ὀλίγους. τοῖσι εἴδεά τε ὑπῆρχε διαλέγων, καὶ εἰ τέοισί τι χρηστὸν συνῄδεε πεποιημένον. ἐν δὲ πλεῖστον ἔθνος Πέρσας αἱρέετο ἄνδρας στρεπτοφόρους τε, καὶ ψελιοφόρους, ἐπὶ δὲ Μήδους. οὗτοι δὲ πλῆθος μὲν οὐκ ἐλάσσονες ἦσαν τῶν Περσέων, ῥώμῃ δὲ ἑσσονες. ὥστε σύμπαντας τριήκοντα μυριάδας γενέσθαι σὺν ἱππεῦσι. ἐν δὲ τούτῳ τῷ χρόνῳ, ἐν τῷ Μαρδόνιός τε τὴν στρατιὴν διέκρινε, καὶ Ξέρξης ἦν περὶ Θεσσαλίην, χρηστήριον ἐληλύθεε ἐκ Δελφῶν Λακεδαιμονίοισι, Ξέρξεα αἰτέειν δίκας τοῦ Λεωνίδεω φόνου, καὶ τὸ διδόμενον ἐξ ἐκείνου δέκεσθαι. πέμπουσι δὴ κήρυκα τὴν ταχίστην Σπαρτιῆται. ὃς ἐπειδὴ κατέλαβε ἐοῦσαν ἔτι πᾶσαν τὴν στρατιὴν ἐν Θεσσαλίῃ, ἐλθὼν ἐς ὄψιν τὴν Ξέρξεω, ἔλεγε τάδε· Ὦ βασιλεῦ Μήδων, Λακεδαιμόνιοί τέ σε καὶ Ἡρακλεῖδαι οἱ ἀπὸ Σπάρτης, αἰτέουσι φόνου δίκας, ὅτι σφέων τὸν βασιλέα ἀπέκτανας, ῥυόμενον τὴν Ἑλλάδα. ὁ δὲ γελάσας τε, καὶ κατασχὼν πολλὸν χρόνον, ὥς οἱ ἐτύγχανε παρεστεὼς Μαρδόνιος, δεικνὺς ἐς τοῦτον εἶπε· τοιγάρ σφι Μαρδόνιος ὅδε δίκας δώσει τοιαύτας, οἵας ἐκείνοισι πρέπει. ὁ μὲν δὴ δεξάμενος τὸ ῥηθὲν, ἀπαλλάσσετο. Ξέρξης δὲ Μαρδόνιον ἐν Θεσσαλίῃ καταλιπὼν, αὐτὸς ἐπορεύετο κατὰ τάχος ἐς τὸν Ἑλλήσποντον. καὶ ἀπικνέεται ἐς τὸν πόρον τῆς διαβάσιος, ἐν πέντε καὶ τεσσεράκοντα ἡμέρῃσι, ἀπάγων τῆς στρατιῆς οὐδὲν μέρος, ὡς εἰπεῖν. ὅκου δὲ πορευόμενοι γινοίατο, καὶ κατ' οὕς τινας ἀνθρώπους, τὸν τούτων καρπὸν ἁρπάζοντες, ἐσιτέοντο. εἰ δὲ καρπὸν μηδένα εὕροιεν, οἱ δὲ τὴν ποίην τὴν ἐκ τῆς γῆς ἀναφυομένην, καὶ τῶν δενδρέων τὸν φλοιὸν περιλέποντες, καὶ τὰ φύλλα καταδρέποντες, κατήσθιον ὁμοίως τῶν τε ἡμέρων καὶ τῶν ἀγρίων, καὶ ἔλειπον οὐδέν. ταῦτα δ' ἐποίευν ὑπὸ λιμοῦ. ἐπιλαβὼν δὲ λοιμός τε τὸν στρατὸν, καὶ δυσεντερίη, κατ' ὁδὸν ἔφθειρε. τοὺς δὲ καὶ νοσέοντας αὐτέων κατέλιπε, ἐπιτάσσων τῇσι πόλισι, ἵνα ἑκάστοτε γίνοιτο ἐλαύνων, μελεδαίνειν τε καὶ τρέφειν, ἐν Θεσσαλίῃ τέ τινας καὶ ἐν Σίρι τῆς Παιονίης, καὶ ἐν Μακεδονίῃ, ἔνθα καὶ τὸ ἱρὸν ἅρμα καταλιπὼν τοῦ Διὸς, ὅτε ἐπὶ τὴν Ἑλλάδα ἤλαυνε ἀπιὼν, οὐκ ἀπέλαβε. ἀλλὰ δόντες οἱ Παίονες τοῖσι Θρήιξι, ἀπαιτέοντος Ξέρξεω, ἔφασαν νεμομένας ἁρπαχθῆναι ὑπὸ τῶν ἄνω Θρηίκων τῶν περὶ τὰς πηγὰς τοῦ Στρυμόνος οἰκημένων. ἔνθα καὶ ὁ τῶν Βισαλτέων βασιλεὺς γῆς τε τῆς Κρηστωνικῆς Θρήιξ, ἔργον ὑπερφυὲς ἐργάσατο. ὃς οὔτε αὐτὸς ἔφη τῷ Ξέρξῃ ἑκὼν εἶναι δουλεύσειν, ἀλλ' οἴχετο ἄνω ἐς τὸ ὄρος τὴν Ῥοδόπην, τοῖσί τε παισὶ ἀπηγόρευε μὴ στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα. οἱ δὲ ἀλογήσαντες, ἢ ἄλλως σφι θυμὸς ἐγένετο θεήσασθαι τὸν πόλεμον, ἐστρατεύοντο ἅμα τῷ Πέρσῃ. ἐπεὶ δὲ ἀνεχώρησαν ἀσινέες πάντες ἓξ ἐόντες, ἐξώρυξε αὐτέων ὁ πατὴρ τοὺς ὀφθαλμοὺς, διὰ τὴν αἰτίην ταύτην. καὶ οὗτοι μὲν τοῦτον τὸν μισθὸν ἔλαβον. οἱ δὲ Πέρσαι ὡς ἐκ τῆς Θρηίκης πορευόμενοι ἀπίκοντο ἐπὶ τὸν πόρον, ἐπειγόμενοι τὸν Ἑλλήσποντον τῇσι νηυσὶ διέβησαν ἐς Ἄβυδον. τὰς γὰρ σχεδίας οὐκ εὗρον ἔτι ἐντεταμένας, ἀλλ' ὑπὸ χειμῶνος διαλελυμένας· ἐνθαῦτα δὴ κατεχόμενοι, σιτία πλέω ἢ κατ' ὁδὸν ἐλάγχανον. οὐδένα τε κόσμον ἐμπιπλάμενοι, καὶ ὕδατα μεταβάλλοντες, ἀπέθνησκον τοῦ στρατοῦ τοῦ περιεόντος πολλοί. οἱ δὲ λοιποὶ ἅμα Ξέρξῃ ἀπικνέονται ἐς Σάρδις. ἔστι δὲ καὶ ἄλλος ὅδε λεγόμενος λόγος, ὡς ἐπειδὴ Ξέρξης ἀπελαύνων ἐξ Ἀθηνέων, ἀπίκετο ἐπ' Ἠιόνα τὴν ἐπὶ Στρυμόνι, ἐνθεῦτεν οὐκέτι ὁδοιπορίῃσι διεχρέετο, ἀλλὰ τὴν μὲν στρατιὴν Ὑδάρνεϊ ἐπιτρέπει ἀπάγειν ἐς τὸν Ἑλλήσποντον. αὐτὸς δ' ἐπὶ νεὸς Φοινίσσης ἐπιβὰς, ἐκομίζετο ἐς τὴν Ἀσίην. πλέοντα δέ μιν ἄνεμον Στρυμονίην ὑπολαβεῖν μέγαν καὶ κυματίην. καὶ δὴ μᾶλλον γάρ τι χειμαίνεσθαι γεμούσης τῆς νεὸς, ὥστε ἐπὶ τοῦ καταστρώματος ἐπεόντων συχνῶν Περσέων τῶν σὺν Ξέρξῃ κομιζομένων, ἐνθαῦτα ἐς δεῖμα πεσόντα τὸν βασιλέα, εἰρέσθαι βώσαντα τὸν κυβερνήτεα, εἴ τις οἱ ἐστί σφι σωτηρίη. καὶ τὸν εἰπεῖν· Δέσποτα, οὐκ ἔστιν οὐδεμία, εἰ μὴ τούτων ἀπαλλαγή τις

γενήσεσθαι τῶν πολλῶν ἐπιβατέων. καὶ Ξέρξεα λέγεται ἀκούσαντα ταῦτα, εἰπεῖν· ἄνδρες Πέρσαι, νῦν τις διαδεξάτω ὑμέων βασιλῆος κηδόμενος. ἐν ὑμῖν γὰρ οἶκε ἐμοὶ εἶναι ἡ σωτηρίη. τὸν μὲν ταῦτα λέγειν. τοὺς δὲ προσκυνέοντας, ἐκπηδᾷν ἐς τὴν θάλασσαν. καὶ τὴν νέα ἐπικουφισθεῖσαν, οὕτω δὴ ἀποσωθῆναι ἐς τὴν Ἀσίην. ὡς δὲ ἐκβῆναι τάχιστα ἐς γῆν τὸν Ξέρξεα, ποιῆσαι τοιόνδε. ὅτι μὲν ἔσωσε βασιλῆος τὴν ψυχὴν, δωρήσασθαι χρυσέῃ στεφάνῃ τὸν κυβερνήτην. ὅτι δὲ Περσέων πολλοὺς ἀπώλεσε, ἀποταμεῖν τὴν κεφαλὴν αὐτοῦ. οὗτος δὲ ἄλλως λέγεται ὁ λόγος περὶ τοῦ Ξέρξεω νόστου, οὐδαμῶς ἔμοιγε πιστὸς, οὔτε ἄλλως, οὔτε τὸ Περσέων τοῦτο πάθος. εἰ γὰρ δὴ ταῦτα οὕτω ἐῤῥήθη ἐκ τοῦ κυβερνήτεω πρὸς Ξέρξεα, ἐν μυρίῃσι γνώμῃσι μίαν οὐκ ἔχω ἀντίξοον μὴ οὐκ ἂν ποιῆσαι βασιλῆα τοιόνδε, τοὺς μὲν ἀπὸ τοῦ καταστρώματος καταβιβάσαι ἐς κοίλην νέα, ἐόντας Πέρσας, καὶ Περσέων τοὺς πρώτους. τῶν δ' ἐρετέων ἐόντων Φοινίκων, ὅκως οὐκ ἂν ἴσον πλῆθος τοῖσι Πέρσῃσι ἐξέβαλε ἐς τὴν θάλασσαν. ἀλλ' ὁ μὲν, ὡς καὶ πρότερόν μοι εἴρηται, ὁδῷ χρεώμενος ἅμα τῷ ἄλλῳ στρατῷ, ἀπενόστησε ἐς τὴν Ἀσίην. μέγα δὲ καὶ τόδε μαρτύριον. φαίνεται γὰρ Ξέρξης ἐν τῇ ὀπίσω κομιδῇ ἀπικόμενος ἐς Ἄβδηρα, καὶ ξεινίην τέ σφι συνθέμενος καὶ δωρησάμενος αὐτοὺς ἀκινάκῃ τε χρυσέῳ καὶ τιήρῃ χρυσοπάστῳ. καὶ ὡς αὐτοὶ λέγουσι Ἀβδηρῖται, λέγοντες μὲν οὐδαμῶς ἐμοὶ πιστὰ, πρῶτον ἐλύσατο τὴν ζώνην φεύγων ἐξ Ἀθηνέων ὀπίσω ὡς ἐν ἀδείῃ ἐών. πρὸς τοῦ Ἑλλησπόντου δὲ μᾶλλον τὰ Ἄβδηρα ἵδρυται, ἢ τοῦ Στρυμόνος, καὶ τῆς Ἠιόνος. ὅθεν δή μιν φασὶ ἐπιβῆναι ἐπὶ τὴν νέα. οἱ δὲ Ἕλληνες ἐπείτε οὐκ οἷοί τε ἐγένοντο ἐξελεῖν τὴν Ἄνδρον, τραπόμενοι ἐς Κάρυστον, καὶ δηιώσαντες αὐτέων τὴν χώρην, ἀπαλλάσσοντο ἐς Σαλαμῖνα. πρῶτα μέν νυν τοῖσι θεοῖσι ἐξεῖλον ἀκροθίνια, ἄλλα τε καὶ τριήρεας τρεῖς φοινίσσας. τὴν μὲν ἐς Ἰσθμὸν ἀναθεῖναι, ἥπερ ἔτι καὶ ἐς ἐμὲ ἦν· τὴν δὲ ἐπὶ Σούνιον· τὴν δὲ τῷ Αἴαντι αὐτοῦ ἐς Σαλαμῖνα. μετὰ δὲ τοῦτο διεδάσαντο τὴν ληίην, καὶ τὰ ἀκροθίνια ἔπεμψαν ἐς Δελφοὺς. ἐκ τῶν ἐγένετο ἀνδριὰς ἔχων ἐν τῇ χειρὶ ἀκρωτήριον νηὸς, ἐὼν μέγαθος δυώδεκα πηχέων. ἕστηκε δὲ οὗτος, τῇπερ ὁ Μακεδὼν Ἀλέξανδρος ὁ χρύσεος. πέμψαντες δὲ ἀκροθίνια οἱ Ἕλληνες ἐς Δελφοὺς, ἐπειρώτεον τὸν θεὸν κοινῇ, εἰ λελάβηκε πλήρεα καὶ ἀρεστὰ τὰ ἀκροθίνια. ὁ δὲ παρὰ Ἑλλήνων μὲν τῶν ἄλλων ἔφησε ἔχειν, παρὰ Αἰγινητέων δὲ οὔ, ἀλλ' ἀπαίτεε αὐτοὺς τὰ ἀριστήια τῆς ἐν Σαλαμῖνι ναυμαχίης. Αἰγινῆται δὲ πυθόμενοι, ἀνέθεσαν ἀστέρας χρυσέους, οἳ ἐπὶ ἱστοῦ χαλκέου ἑστᾶσι τρεῖς ἐπὶ τῆς γωνίης, ἀγχοτάτω τοῦ Κροίσου κρητῆρος. μετὰ δὲ τὴν διαίρεσιν τῆς ληίης, ἔπλεον οἱ Ἕλληνες ἐς τὸν Ἰσθμὸν, ἀριστήια δώσοντες τῷ ἀξιωτάτῳ γενομένῳ Ἑλλήνων ἀνὰ τὸν πόλεμον τοῦτον. ὡς δὲ ἀπικόμενοι οἱ στρατηγοὶ, διένεμον τὰς ψήφους ἐπὶ τοῦ Ποσειδέωνος τῷ βωμῷ, τὸν πρῶτον καὶ τὸν δεύτερον κρίνοντες ἐκ πάντων, ἐνθαῦτα πᾶς τις αὐτέων ἑωυτῷ ἐτίθετο τὴν ψῆφον, αὐτὸς ἕκαστος δοκέων ἄριστος γενέσθαι. δεύτερα δὲ οἱ πολλοὶ συνεξέπιπτον, Θεμιστοκλέα κρίνοντες. οἱ μὲν δὴ ἐμουνοῦντο. Θεμιστοκλέης δὲ δευτερείοισι ὑπερεβάλλετο πολλόν. οὐ βουλομένων δὲ ταῦτα κρίνειν τῶν Ἑλλήνων φθόνῳ, ἀλλ' ἀποπλωόντων ἑκάστων ἐς τὴν ἑωυτῶν ἀκρίτων, ὅμως Θεμιστοκλέης ἐβώσθη τε καὶ ἐδοξώθη εἶναι ἀνὴρ πολλῶν Ἑλλήνων σοφώτατος ἀνὰ πᾶσαν τὴν Ἑλλάδα. ὅτι δὲ νικῶν οὐκ ἐτιμήθη πρὸς τῶν ἐν Σαλαμῖνι ναυμαχησάντων, αὐτίκα μετὰ ταῦτα ἐς Λακεδαίμονα ἀπίκετο, θέλων τιμηθῆναι. καί μιν Λακεδαιμόνιοι καλῶς μὲν ὑπεδέξαντο, μεγάλως δὲ ἐτίμησαν. ἀριστήια μέν νυν ἔδοσαν Εὐρυβιάδῃ ἐλαίης στέφανον, σοφίης δὲ καὶ δεξιότητος Θεμιστοκλέϊ· καὶ τούτῳ στέφανον ἐλαίης. ἐδωρήσαντο δέ μιν ὄχῳ τῷ ἐν Σπάρτῃ καλλιστεύσαντι. αἰνέσαντες δὲ πολλὰ, προέπεμψαν ἀπιόντα τριηκόσιοι Σπαρτιητέων λογάδες οὗτοι, οἵπερ ἱππέες καλέονται, μέχρι οὔρων τῶν Τεγεητικῶν. μοῦνον δὴ τοῦτον πάντων ἀνθρώπων, τῶν ἡμεῖς ἴδμεν, Σπαρτιῆται προέπεμψαν. ὡς δὲ ἐκ τῆς Λακεδαίμονος ἀπίκετο ἐς τὰς Ἀθήνας, ἐνθαῦτα Τιμόδημος Ἀφιδναῖος, τῶν ἐχθρῶν μὲν τοῦ Θεμιστοκλέος ἐὼν, ἄλλως δὲ οὐ τῶν ἐπιφανέων, φθόνῳ καταμαργέων, ἐνείκεε τὸν Θεμιστοκλέα, τὴν ἐς Λακεδαίμονα ἄπιξιν προφέρων, ὡς διὰ τὰς Ἀθήνας ἔχοι τὰ γέρεα τὰ παρὰ Λακεδαιμονίων, ἀλλ' οὐ δι' ἑωυτόν· ὁ δὲ ἐπείτε ἐνείκετο, καὶ οὐκ ἐπαύετο ταῦτα λέγων ὁ Τιμόδημος, εἶπε, οὕτω ἔχει τοι, οὔτ' ἂν ἐγὼ ἐὼν Βελβινίτης ἐτιμήθην οὕτω πρὸς Σπαρτιητέων, οὔτ' ἂν σὺ ὤνθρωπε ἐὼν Ἀθηναῖος. ταῦτα μέν νυν ἐς τοσοῦτον ἐγένετο. Ἀρτάβαζος δὲ ὁ Φαρνάκεος, ἀνὴρ ἐν Πέρσῃσι λόγιμος καὶ πρόσθεν ἐὼν, ἐκ δὲ τῶν Πλαταιϊκῶν, καὶ μᾶλλον

ἔτι

ἐπιγινόμενος, ἔχων ἓξ μυριάδας στρατοῦ, τὸν Μαρδόνιος ἐξελέξατο, προέπεμπε βασιλέα μέχρι τοῦ πόρου. ὡς δὲ ὁ μὲν ἦν ἐν τῇ Ἀσίῃ, ὁ δὲ ὀπίσω πορευόμενος κατὰ τὴν Παλλήνην ἐγίνετο, ἅτε Μαρδονίου τε χειμερίζοντος περὶ Θεσσαλίην τε καὶ Μακεδονίην, καὶ οὐδέν κω κατεπείγοντος ἥκειν ἐς τὸ ἄλλο στρατόπεδον, οὐκ ἐδικαίου ἐντυχὼν ἀπεστεῶσι Ποτιδαιήτῃσι μὴ οὐκ ἐξανδραποδίσασθαι σφέας. οἱ γὰρ Ποτιδαιῆται, ὡς βασιλεὺς παρεξεληλάκεε, καὶ ὁ ναυτικὸς τοῖσι Πέρσῃσι οἰχώκεε φεύγων ἐκ τῆς Σαλαμῖνος, ἐκ τοῦ φανεροῦ ἀπέστασαν ἀπὸ τῶν βαρβάρων. ὡς δὲ καὶ οἱ ἄλλοι οἱ τὴν Παλλήνην ἔχοντες. ἐνθαῦτα δὴ Ἀρτάβαζος ἐπολιόρκεε τὴν Ποτίδαιαν. ὑποπτεύσας δὲ καὶ τοὺς Ὀλυνθίους ἀπίστασθαι ἀπὸ βασιλέος, καὶ ταύτην ἐπολιόρκεε. εἶχον δὲ αὐτὴν Βοττιαῖοι, οἱ ἐκ τοῦ Θερμαίου κόλπου ἐξαναστάντες ὑπὸ Μακεδόνων. ἐπεὶ δὲ σφέας εἷλε πολιορκέων, κατέσφαξε ἐξαγαγὼν ἐς λίμνην. τὴν δὲ πόλιν παραδιδοῖ Κριτοβούλῳ Τορωναίῳ ἐπιτροπεύειν, καὶ τῷ Χαλκιδικῷ γένει. καὶ οὕτω Ὄλυνθον Χαλκιδέες ἔσχον. ἐξελὼν δὲ ταύτην ὁ Ἀρτάβαζος, τῇ Ποτιδαίῃ ἐντεταμένως προσεῖχε. προσέχοντι δὲ οἱ προθύμως, συντίθεται προδοσίην Τιμόξεινος ὁ τῶν Σκιωναίων στρατηγός. ὃν τινα μὲν τρόπον ἀρχήν, ἔγωγε οὐκ ἔχω εἰπεῖν. οὐ γὰρ ὦν λέγεται. τέλος μέντοι, τοιάδε ἐγίνετο. ὅκως βιβλίον γράψειε ἢ Τιμόξεινος ἐθέλων παρὰ Ἀρτάβαζον πέμψαι, ἢ Ἀρτάβαζος παρὰ Τιμόξεινον, τοξεύματος παρὰ τὰς γλυφίδας περιειλίξαντες, καὶ πτερώσαντες τὸ βιβλίον, ἐτόξευον ἐς συγκείμενον χωρίον. ἐπάϊστος δὲ ἐγένετο ὁ Τιμόξεινος προδιδοὺς τὴν Ποτίδαιαν. τοξεύων γὰρ ὁ Ἀρτάβαζος ἐς τὸ συγκείμενον, ἁμαρτὼν τοῦ χωρίου τούτου, βάλλει ἀνδρὸς Ποτιδαιήτεω τὸν ὦμον. τὸν δὲ βληθέντα, περιέδραμε ὅμιλος, οἷα φιλέει γίνεσθαι ἐν πολέμῳ. οἳ αὐτίκα τὸ τόξευμα λαβόντες, ὡς ἔμαθον τὸ βιβλίον, ἔφερον ἐπὶ τοὺς στρατηγούς. παρῆν δὲ καὶ τῶν ἄλλων Παλληναίων συμμαχίη. τοῖσι δὲ στρατηγοῖσι ἐπιλεξαμένοισι τὸ βιβλίον, καὶ μαθοῦσι τὸν αἴτιον τῆς προδοσίης, ἔδοξε μὴ καταπλῆξαι Τιμόξεινον προδοσίῃ, τῆς Σκιωναίων πόλιος εἵνεκα, μὴ νομιζοίατο εἶναι Σκιωναῖοι ἐς τὸν μετέπειτα χρόνον αἰεὶ προδόται. ὁ μὲν δὴ τοιούτῳ τρόπῳ ἐπάϊστος ἐγένετο. Ἀρταβάζῳ δὲ ἐπειδὴ πολιορκέοντι ἐγεγόνεσαν τρεῖς μῆνες, γίνεται ἄμπωτις τῆς θαλάσσης μεγάλη, καὶ χρόνον ἐπὶ πολλόν. ἰδόντες δὲ οἱ βάρβαροι τέναγος γενόμενον, παρεῖσαν ἐς τὴν Παλλήνην. ὡς δὲ τὰς δύο μὲν μοίρας διοδοιπορήκεσαν, ἔτι δὲ τρεῖς ὑπόλοιποι ἦσαν, τὰς διελθόντας χρῆν ἔσω εἶναι ἐν τῇ Παλλήνῃ, ἐπῆλθε πλημμυρὶς τῆς θαλάσσης μεγάλη, ὅση οὐδαμά κω, ὡς οἱ ἐπιχώριοι λέγουσι, πολλάκις γινομένη. οἱ μὲν δὴ νέειν αὐτέων οὐκ ἐπιστάμενοι, διεφθάροντο. τοὺς δὲ ἐπισταμένους Ποτιδαιῆται ἐπιπλώσαντες πλοίοισι ἀπώλεσαν. αἴτιον δὲ λέγουσι Ποτιδαιῆται τῆς τε ῥηχίης, καὶ τῆς πλημμυρίδος, καὶ τοῦ Περσικοῦ πάθεος γενέσθαι τόδε. ὅτι τοῦ Ποσειδέωνος ἐς τὸν νηὸν, καὶ τὸ ἄγαλμα τὸ ἐν τῷ προαστείῳ ἠσέβησαν οὗτοι τῶν Περσέων, οἵπερ καὶ διεφθάρησαν ὑπὸ τῆς θαλάσσης. αἴτιον δὲ τοῦτο λέγοντες, εὖ λέγειν ἔμοιγε δοκέουσι. τοὺς δὲ περιγινομένους, ἀπῆγε Ἀρτάβαζος ἐς Θεσσαλίην παρὰ Μαρδόνιον. οὗτοι μὲν οἱ προπέμψαντες βασιλέα, οὕτω ἔπρηξαν. ὁ δὲ ναυτικὸς στρατὸς ὁ Ξέρξεω περιγινόμενος, ὡς προσέμιξε τῇ Ἀσίῃ φεύγων ἐκ Σαλαμῖνος, καὶ βασιλέα τε καὶ τὴν στρατιὴν ἐκ Χερσονήσου διεπόρθμευσε ἐς Ἄβυδον, ἐχειμέρισε ἐν Κύμῃ. ἔαρος δὲ ἐπιλάμψαντος, πρώϊος συνελέγετο ἐς Σάμον. αἱ δὲ τῶν νεῶν, καὶ ἐχειμέρισαν αὐτοῦ. Περσέων δὲ καὶ Μήδων οἱ πλεῦνες ἐπεβάτευον. στρατηγοὶ δέ σφι ἐπῆλθον, Μαρδόντης τε ὁ Βαγαίου, καὶ Ἀρταΰντης ὁ Ἀρταχαίου. συνῆρχε δὲ τούτοισι καὶ ἀδελφιδέος αὐτοῦ Ἀρταΰντεω προσελομένου ὁ Ἀμίτρης. ἅτε δὲ μεγάλως πληγέντες, οὐ προήϊσαν ἀνωτέρω τὸ πρὸς ἑσπέρης, οὐδ᾽ ἐπηνάγκαζε οὐδείς. ἀλλ᾽ ἐν τῇ Σάμῳ κατήμενοι, ἐφύλασσον τὴν Ἰωνίην μὴ ἀποστῇ, νέας ἔχοντες σὺν τῇσι Ἰάσι τριηκοσίας. οὐ μὲν οὐδὲ προσεδέκοντο τοὺς Ἕλληνας προσελεύσεσθαι ἐς τὴν Ἰωνίην, ἀλλ᾽ ἀρκέσειν σφι τὴν ἑωυτῶν φυλάσσειν, σταθμεύμενοι ὅτι σφέας οὐκ ἐπεδίωξαν φεύγοντας ἐκ Σαλαμῖνος, ἀλλ᾽ ἄσμενοι ἀπαλλάσσοντο. κατὰ μέν νυν τὴν θάλασσαν ἑσσωμένοι ἦσαν τῷ θυμῷ. πεζῇ δὲ ἐδόκεον πολλῷ κρατήσειν τὸν Μαρδόνιον. ὄντες δὲ ἐν Σάμῳ, ἅμα μὲν ἐβουλεύοντο, εἴ τι δυναίατο κακὸν τοὺς πολεμίους ποιέειν. ἅμα δὲ καὶ ὠτακούστεον, ὅκῃ πεσέεται τὰ Μαρδονίου πρήγματα. τοὺς δὲ Ἕλληνας τό τε ἔαρ γινόμενον ἤγειρε, καὶ Μαρδόνιος ἐν Θεσσαλίῃ ἐών. ὁ μὲν δὴ πεζὸς, οὔκω συνελέγετο. ὁ δὲ ναυτικὸς ἀπίκετο ἐς Αἴγιναν, νέες ἀριθμὸν δέκα καὶ ἑκατόν. στρατηγὸς δὲ καὶ ναύαρχος

ἦν Λευ-

ἦν Λευτυχίδης ὁ Μεναρέος, τοῦ Ἡγησίλεω, τοῦ Ἱπποκρατίδεω, τοῦ Λευτυχίδεω, τοῦ Ἀναξίλεω, τοῦ Ἀρχιδήμου, τοῦ Ἀναξανδρίδεω, τοῦ Θεοπόμπου, τοῦ Νικάνδρου, τοῦ Χαρίλεω, τοῦ Εὐνόμου, τοῦ Πολυδέκτεος, τοῦ Πρυτάνιος, τοῦ Εὐρυφῶντος, τοῦ Προκλέος, τοῦ Ἀριστοδήμου, τοῦ Ἀριστομάχου, τοῦ Κλεοδαίου, τοῦ Ὕλλου, τοῦ Ἡρακλέος, ἐὼν τῆς ἑτέρης οἰκίης τῶν βασιλέων. οὗτοι πάντες πλὴν τῶν ἑπτὰ τῶν μετὰ Λευτυχίδεα πρώτων καταλεχθέντων, οἱ ἄλλοι βασιλέες ἐγένοντο Σπάρτης. Ἀθηναίων δὲ ἐστρατήγεε Ξάνθιππος ὁ Ἀρίφρονος. ὡς δὲ παρεγένοντο ἐς τὴν Αἴγιναν πᾶσαι αἱ νέες, ἀπίκοντο Ἰώνων ἄγγελοι ἐς τὸ στρατόπεδον τῶν Ἑλλήνων, οἱ καὶ ἐς τὴν Σπάρτην ὀλίγῳ πρότερον τούτων ἀπικόμενοι, ἐδέοντο Λακεδαιμονίων ἐλευθεροῦν τὴν Ἰωνίην, τῶν καὶ Ἡρόδοτος ὁ Βασιληίδεω ἦν. οἱ στασιῶται σφίσι γενόμενοι, ἐπεβούλευον θάνατον Στράττι τῷ Χίου τυράννῳ, ἐόντες ἀρχὴν ἑπτά. ἐπιβουλεύοντες δέ, ὡς φανεροὶ ἐγένοντο, ἐξενείκαντος τὴν ἐπιχείρησιν ἑνὸς τῶν μετεχόντων, οὕτω δὴ οἱ λοιποὶ ἓξ ἐόντες, ὑπεξέσχον ἐκ τῆς Χίου, καὶ ἐς Σπάρτην ἀπίκοντο, καὶ δὴ καὶ τότε ἐς τὴν Αἴγιναν, τῶν Ἑλλήνων δεόμενοι καταπλῶσαι ἐς τὴν Ἰωνίην. οἱ προήγαγον αὐτοὺς μόγις μέχρι Δήλου. τὸ γὰρ προσωτέρω πᾶν δεινὸν ἦν τοῖσι Ἕλλησι, οὔτε τῶν χώρων ἐοῦσι ἐμπείροισι, στρατιῆς τε πάντα πλέα ἐδόκεε εἶναι. τὴν δὲ Σάμον ἠπιστέατο δόξῃ καὶ Ἡρακλέας στήλας ἴσον ἀπέχειν. συνέπιπτε δὲ τοιοῦτο, ὥστε τοὺς μὲν βαρβάρους τὸ πρὸς ἑσπέρης ἀνωτέρω Σάμου μὴ τολμᾶν καταπλῶσαι καταρρωδηκότας, τοὺς δὲ Ἕλληνας, χρηιζόντων Χίων, τὸ πρὸς τὴν ἠῶ κατωτέρω Δήλου. οὕτω δέος τὸ μέσον ἐφύλασσε σφέων. οἱ μὲν δὴ Ἕλληνες ἔπλεον ἐς τὴν Δῆλον, Μαρδόνιος δὲ περὶ τὴν Θεσσαλίην ἐχείμαζε. ὁρμεώμενος δὲ ἐνθεῦτεν, ἔπεμπε κατὰ τὰ χρηστήρια ἄνδρα Εὐρωπέα γένος, τῷ οὔνομα ἦν Μῦς, ἐντειλάμενος πανταχῆ μιν χρησόμενον ἐλθεῖν, τῶν οἷά τε ἦν σφι ἀποπειρήσασθαι. ὅ τι μὲν βουλόμενος ἐκμαθεῖν πρὸς τῶν χρηστηρίων ταῦτα ἐνετέλλετο, οὐκ ἔχω φράσαι. οὐ γὰρ ὦν λέγεται. δοκέω δ' ἔγωγε περὶ τῶν παρεόντων πρηγμάτων, καὶ οὐκ ἄλλων πέρι πέμψαι. οὗτος ὁ Μῦς ἔς τε Λεβάδειαν ἀπικόμενος φαίνεται, καὶ μισθῷ πείσας τῶν ἐπιχωρίων ἄνδρα, καταβῆναι παρὰ Τροφώνιον. καὶ ἐς Ἄβας τὰς Φωκέων ἀπικόμενος ἐπὶ τὸ χρηστήριον, καὶ δὴ καὶ ἐς Θήβας πρῶτα ὡς ἀπίκετο, τοῦτο μὲν τῷ Ἰσμηνίῳ Ἀπόλλωνι ἐχρήσατο. ἔστι δὲ κατάπερ ἐν Ὀλυμπίῃ, ἱροῖσι αὐτόθι χρηστηριάζεσθαι. τοῦτο δὲ ξεῖνόν τινα, καὶ οὐ Θηβαῖον χρήμασι πείσας, κατεκοίμισε ἐς Ἀμφιάρεω. Θηβαίων δὲ οὐδενὶ ἔξεστι μαντεύεσθαι αὐτόθι διὰ τόδε. ἐκέλευσέ σφεας ὁ Ἀμφιάρεως διὰ χρηστηρίων ποιεύμενος, ὁκότερα βούλονται ἑλέσθαι τούτων, ἑωυτῷ ἢ ἅτε μάντι χρᾶσθαι, ἢ ἅτε συμμάχῳ, τοῦ ἑτέρου ἀπεχομένους. οἱ δὲ σύμμαχόν μιν εἵλοντο εἶναι. διὰ τοῦτο μὲν οὐκ ἔξεστι Θηβαίων οὐδενὶ αὐτόθι κατακοιμηθῆναι. τότε δὲ θῶμά μοι μέγιστον γενέσθαι λέγεται ὑπὸ Θηβαίων. ἐλθεῖν ἄρα τὸν Εὐρωπέα Μῦν περιστρωφώμενον πάντα τὰ χρηστήρια, καὶ ἐς τοῦ Πτώου Ἀπόλλωνος τὸ τέμενος. τοῦτο δὲ τὸ ἱρὸν καλέεται μὲν Πτῷον, ἔστι δὲ Θηβαίων, κέεται δὲ ὑπὲρ τῆς Κωπαΐδος λίμνης, πρὸς ὄρεϊ ἀγχοτάτω Ἀκραιφίης πόλιος. ἐς τοῦτο τὸ ἱρὸν ἐπεί τε παρελθεῖν τὸν καλεόμενον τοῦτον Μῦν, ἐπεσθαι δέ οἱ τῶν ἀστῶν αἱρετοὺς ἄνδρας τρεῖς ἀπὸ τοῦ κοινοῦ, ὡς ἀπογραψομένους τὰ θεσπιέειν ἔμελλε. καὶ πρόκατε τὸν πρόμαντιν βαρβάρῳ γλώσσῃ χρᾶν, καὶ τοὺς μὲν ἑπομένους τῶν Θηβαίων ἐν θώματι ἔχεσθαι ἀκούοντας βαρβάρου γλώσσης ἀντὶ Ἑλλάδος, οὐδὲ ἔχειν ὅ τι χρήσονται τῷ παρεόντι πρήγματι. τὸν δὲ Εὐρωπέα Μῦν, ἐξαρπάσαντα παρ' αὐτῶν τὴν ἐφέροντο δέλτον, τὰ λεγόμενα ὑπὸ τοῦ προφήτεω γράφειν ἐς αὐτήν. φάναι δὲ Καρίῃ μιν γλώσσῃ χρᾶν. συγγραψάμενον δὲ οἴχεσθαι ἀπιόντα ἐς Θεσσαλίην. Μαρδόνιος δὲ ἐπιλεξάμενος ὅ τι δὴ ἦν λέγοντα τὰ χρηστήρια, μετὰ ταῦτα ἔπεμψε ἄγγελον ἐς Ἀθήνας Ἀλέξανδρον τὸν Ἀμύντεω, ἄνδρα Μακεδόνα, ἅμα μὲν ὅτι οἱ προσκηδέες οἱ Πέρσαι ἦσαν. Ἀλεξάνδρου γὰρ ἀδελφεὴν Γυγαίην, Ἀμύντεω δὲ θυγατέρα, Βουβάρης ἀνὴρ Πέρσης ἔσχε, ἐκ τῆς οἱ ἐγεγόνεε Ἀμύντης ὁ ἐν τῇ Ἀσίῃ, ἔχων τὸ οὔνομα τοῦ μητροπάτορος, τῷ δὴ ἐκ βασιλέος τῆς Φρυγίης ἐδόθη Ἀλάβανδα πόλις μεγάλη νέμεσθαι. ἅμα τε ὁ Μαρδόνιος πυθόμενος ὅτι πρόξεινός τε εἴη καὶ εὐεργέτης ὁ Ἀλέξανδρος, ἔπεμπε. τοὺς γὰρ Ἀθηναίους οὕτω ἐδόκεε μάλιστα προσκτήσεσθαι. λεών τε πολλὸν ἄρα ἀκούων εἶναι καὶ ἄλκιμον, τά τε κατὰ τὴν θάλασσαν συντυχόντα σφι παθήματα κατεργασαμένους μάλιστα Ἀθηναίους ἠπίστατο. τούτων δὲ προσγενομένων, κατήλπιζε εὐπετέως τῆς θαλάσσης κρατήσειν, τάπερ

ἦν καὶ

ἦν καὶ ἦν ἀρξῇ τε ἐδόκεε πολλῷ τῶν κρέσσων. οὕτω τε λογιζόμενος κατύπερθέ οἱ τὰ πρήγματα
ἔσεσθαι τῶν Ἑλληνικῶν. τάχα δ' ἂν καὶ τὰ χρηστήρια ταῦτά οἱ προλέγοι συμβουλεύοντα σύμ-
μαχον τὸν Ἀθηναῖον ποιέεσθαι. τοῖσι δὴ πειθόμενος, ἔπεμπε. τοῦ δὲ Ἀλεξάνδρου τούτου, ἕβ-
δομος γενέτωρ Περδίκκης ἐστὶ ὁ κτησάμενος τῶν Μακεδόνων τὴν τυραννίδα, τρόπῳ τοιῷ-
δε. ἐξ Ἄργεος ἔφυγον ἐς Ἰλλυριοὺς τῶν Τημένου ἀπογόνων τρεῖς ἀδελφεοί, Γαυάνης τε, καὶ Ἀέ-
ροπος, καὶ Περδίκκης. ἐκ δὲ Ἰλλυριῶν ὑπερβαλόντες ἐς τὴν ἄνω Μακεδονίην, ἀπίκοντο ἐς Λε-
βαίην πόλιν. ἐνθαῦτα καὶ ἐθήτευον ἐπὶ μισθῷ παρὰ τῷ βασιλέϊ, ὁ μὲν ἵππους νέμων, ὁ δὲ βοῦς·
ὁ δὲ νεώτατος αὐτῶν Περδίκκης, τὰ λεπτὰ τῶν προβάτων. ἦσαν γὰρ τὸ πάλαι καὶ αἱ τυραν-
νίδες τῶν ἀνθρώπων ἀσθενέες χρήμασι, οὐ μόνον ὁ δῆμος. ἡ δὲ γυνὴ τοῦ βασιλῆος, αὐτὴ τὰ σι-
τία σφι ἔπεσσε. ὅκως δὲ ὀπτῷτο ὁ ἄρτος τοῦ παιδὸς τοῦ θητὸς τοῦ Περδίκκεω, διπλήσιος ἐ-
γίνετο αὐτὸς ἑωυτοῦ. ἐπεὶ δὲ αἰεὶ τὠυτὸ τοῦτο ἐγίνετο, εἶπε πρὸς τὸν ἄνδρα ἑωυτῆς. ὡς δὲ ἤκου-
σε, ἐπῆλθέ οἱ αὐτίκα ὡς εἴη τέρας, καὶ φέροι ἐς μέγα τι. καλέσας δὲ τοὺς θῆτας, προηγόρευέ
σφι ἀπαλλάσσεσθαι ἐκ γῆς τῆς ἑωυτοῦ. οἱ δὲ τὸν μισθὸν ἔφασαν δίκαιοι εἶναι ἀπολαβόντας, οὕτω
ἐξιέναι. ἐνθαῦτα ὁ βασιλεὺς τοῦ μισθοῦ πέρι ἀκούσας, ἦν γὰρ κατὰ τὴν καπνοδόκην ἐς τὸν οἶ-
κον ἐσέχων ὁ ἥλιος, εἶπε θεοβλαβὴς γενόμενος, μισθὸν δὲ ὑμῖν ἐγὼ ὑμέων ἄξιον τόνδε ἀποδί-
δωμι, δέξας τὸν ἥλιον. ὁ μὲν δὴ Γαυάνης τε καὶ ὁ Ἀέροπος οἱ πρεσβύτεροι, ἕστασαν ἐκπεπλη-
γμένοι ὡς ἤκουσαν ταῦτα. ὁ δὲ παῖς, ἐτύγχανε γὰρ ἔχων μάχαιραν, εἴπας τάδε, δεκόμεθα ὦ
βασιλεῦ τὰ διδοῖς, περιγράφει τῇ μαχαίρῃ ἐς τοὔδαφος τοῦ οἴκου τὸν ἥλιον. περιγράψας δέ,
ἐς τὸν κόλπον τρὶς ἀρυσάμενος ἐκ τοῦ ἡλίου, ἀπαλλάσσετο αὐτός τε καὶ οἱ μετ' αὐτοῦ. οἱ μὲν
δὴ ἀπήεσαν. τῷ δὲ βασιλέϊ σημαίνει τις τῶν παρέδρων, οἷόν τι χρῆμα ποιήσειε ὁ παῖς, καὶ ὡς
σὺν νόῳ ἐκείνων ὁ νεώτατος λάβοι τὰ διδόμενα. ὁ δὲ ταῦτα ἀκούσας, καὶ ὀξυνθείς, πέμπει ἐπ'
αὐτοὺς ἱππέας ἀπολέοντας. ποταμὸς δέ ἐστι ἐν τῇ χώρῃ ταύτῃ, τῷ θύουσι οἱ τούτων τῶν ἀνδρῶν
ἀπ' Ἄργεος ἀπόγονοι σωτῆρι. οὗτος ἐπείτε διέβησαν οἱ Τημενίδαι, μέγας οὕτω ἐρρύη, ὥστε
τοὺς ἱππέας μὴ οἵους τε γενέσθαι διαβῆναι. οἱ δὲ ἀπικόμενοι ἐς ἄλλην γῆν τῆς Μακεδονίης, οἴ-
κησαν πέλας τῶν κήπων τῶν λεγομένων εἶναι Μίδεω τοῦ Γορδίεω. ἐν τοῖσι φύεται αὐτόματα
ῥόδα, ἐν ἕκαστον ἔχον ἑξήκοντα φύλλα, ὀδμῇ τε ὑπερφέροντα τῶν ἄλλων. ἐν τούτοισι καὶ ὁ Σι-
ληνὸς τοῖσι κήποισι ἥλω, ὡς λέγεται, ὑπὸ Μακεδόνων. ὑπὲρ δὲ τῶν κήπων, οὖρος κέεται, Βέρ-
μιον οὔνομα, ἄβατον ὑπὸ χειμῶνος. ἐνθεῦτεν δὲ ὁρμεώμενοι, ὡς ταύτην ἔσχον, κατεστρέφον-
το καὶ τὴν ἄλλην Μακεδονίην. ἀπὸ τούτου δὴ τοῦ Περδίκκεω, Ἀλέξανδρος ὧδε ἐγεγόνεε. Ἀμύν-
τεω παῖς ἦν Ἀλέξανδρος, Ἀμύντης δὲ Ἀλκέτεω· Ἀλκέτεω δὲ πατὴρ ἦν Ἀέροπος, τοῦ δὲ Φί-
λιππος, Φιλίππου δὲ Ἀργαῖος· τοῦ δὲ Περδίκκης, ὁ κτησάμενος τὴν ἀρχήν. ἐγεγόνεε μὲν δὴ ὧδε
Ἀλέξανδρος ὁ Ἀμύντεω. ὡς δὲ ἀπίκετο ἐς τὰς Ἀθήνας πεμφθεὶς ὑπὸ Μαρδονίου, ἔλεγε τά-
δε· Ἄνδρες Ἀθηναῖοι, Μαρδόνιος τάδε λέγει. ἐμοὶ ἀγγελίη ἥκει παρὰ βασιλῆος, λέγουσα οὕτω. Ἀ-
θηναίοισι τὰς ἁμαρτάδας τὰς ἐξ ἐκείνων ἐς ἐμὲ γενομένας πάσας, μετίημι. νῦν τε ὧδε Μαρ-
δόνιε ποίεε. τοῦτο μὲν τὴν γῆν σφι ἀπόδος, τοῦτο δὲ ἄλλην πρὸς ταύτῃ ἑλέσθων αὐτοί, ἥντινα ἂν
ἐθέλωσι, ἐόντες αὐτόνομοι. ἱρά τε πάντα σφι, ἢν δὴ βούλωνταί γε ἐμοὶ ὁμολογέειν, ἀνόρθω-
σον, ὅσα ἐγὼ ἐνέπρησα. τούτων δὲ ἀπιγμένων, ἀναγκαίως ἔχει μοι ποιέειν ταῦτα, ἢν μὴ τὸ ὑ-
μέτερον αἴτιον γένηται. λέγω δὲ ὑμῖν τάδε· νῦν τί μαίνεσθε πόλεμον βασιλέϊ ἀνταειρόμενοι;
οὔτε γὰρ ἂν ὑπερβάλοισθε, οὔτε οἷοί τε ἐστὲ ἀντέχειν τὸν πάντα χρόνον. εἴδετε μὲν γὰρ τῆς Ξέρ-
ξεω στρατηλασίης τὸ πλῆθος, καὶ τὰ ἔργα. πυνθάνεσθε δὲ καὶ τὴν νῦν παρεοῦσάν μοι δύναμιν. ὥστε
καὶ ἢν ἡμέας ὑπερβάλησθε, καὶ νικήσητε, τοῦ περ ὑμῖν οὐδεμίη ἐλπὶς εἴπερ εὖ φρονέοιτε, ἄλλη
παρέσται πολλαπλησίη. μὴ ὦν βούλεσθε παρισούμενοι βασιλέϊ, στέρεσθαι μὲν τῆς χώρης, θέειν δὲ
αἰεὶ περὶ ὑμέων αὐτέων, ἀλλὰ καταλλάσσεσθε. παρέχει δὲ ὑμῖν κάλλιστα καταλύσασθαι. βα-
σιλῆος ταύτῃ ὁρμημένου. ἔστε ἐλεύθεροι, ἡμῖν ὁμαιχμίην συνθέμενοι ἄνευ τε δόλου, καὶ ἀ-
πάτης. Μαρδόνιος μὲν ταῦτα ὦ Ἀθηναῖοι ἐνετείλατό μοι εἰπεῖν πρὸς ὑμέας. ἐγὼ δὲ περὶ
μὲν εὐνοίης τῆς πρὸς ὑμέας ἐούσης ἐξ ἐμεῦ, οὐδὲν λέξω. οὐ γὰρ ἂν νῦν πρῶτον ἐκμάθοιτε. προσχρη-
ίζω δὲ ὑμέων, πείθεσθαι Μαρδονίῳ. ἐνορέω γὰρ ὑμῖν οὐκ οἵοισί τε ἐσομένοισι τὸν πάντα χρό-
νον πολεμέειν Ξέρξῃ. εἰ γὰρ ἐνώρων τοῦτο ἐν ὑμῖν, οὐκ ἄν κοτε ἐς ὑμέας ἦλθον, ἔχων λό-
γους

γους τοιούσδε. καὶ γὰρ δύναμις ὑπὲρ ἄνθρωπον ἡ βασιλῆός ἐστι, καὶ χεὶρ ὑπερμήκης. ἢν ὦν μὴ αὐτίκα ὁμολογήσητε, μεγάλα προτεινόντων ἐπ' οἷσι ὁμολογέειν ἐθέλουσι, δειμαίνω ὑπὲρ ὑμέων, ἐν τρίβῳ τε μάλιστα οἰκημένων τῶν συμμάχων πάντων, αἰεί τε φθειρομένων μούνων ἐξαίρετον τι μεταίχμιον τὴν γῆν ἐκτημένων. ἀλλὰ πείθεσθε· πολλοῦ γὰρ ὑμῖν ἄξια ταῦτα, εἰ βασιλεύς γε ὁ μέγας μούνοισι ὑμῖν Ἑλλήνων τὰς ἁμαρτάδας ἀπιεὶς, ἐθέλει φίλος γενέσθαι. Ἀλέξανδρος μὲν ταῦτα ἔλεξε· Λακεδαιμόνιοι δὲ πυθόμενοι ἥκειν Ἀλέξανδρον ἐς Ἀθήνας, ἐς ὁμολογίην ἄξοντα τῷ βαρβάρῳ Ἀθηναίους, ἀναμνησθέντες τῶν λογίων ὥς σφεας χρεών ἐστι ἅμα τοῖσι ἄλλοισι Δωριεῦσι ἐκπίπτειν ἐκ Πελοποννήσου ὑπὸ Μήδων τε καὶ Ἀθηναίων, κάρτα τε ἔδεισαν μὴ ὁμολογήσωσι τῷ Πέρσῃ Ἀθηναῖοι. αὐτίκα τέ σφι ἔδοξε πέμπειν ἀγγέλους. καὶ δὴ συνέπιπτε ὥστε ὁμοῦ σφέων γίνεσθαι τὴν κατάστασιν. ἐπανέμειναν γὰρ οἱ Ἀθηναῖοι διατρίβοντες, εὖ ἐπιστάμενοι ὅτι ἔμελλον Λακεδαιμόνιοι πεύσεσθαι ἥκοντα παρὰ τοῦ βαρβάρου ἄγγελον ἐπ' ὁμολογίῃ, πυθόμενοί τε πέμψειν κατὰ τάχος ἀγγέλους. ἐπίτηδες ὦν ἐποίευν, ἐνδεικνύμενοι τοῖσι Λακεδαιμονίοισι τὴν ἑωυτῶν γνώμην. ὡς δὲ ἐπαύσατο λέγων Ἀλέξανδρος, διαδεξάμενοι ἔλεγον οἱ ἀπὸ Σπάρτης ἄγγελοι. Ἡμέας δὲ ἔπεμψαν Λακεδαιμόνιοι δεησομένους ὑμέων, μήτε νεώτερον ποιέειν μηδὲν κατὰ τὴν Ἑλλάδα, μήτε λόγους ἐνδέκεσθαι παρὰ τοῦ βαρβάρου. οὔτε γὰρ δίκαιον οὐδαμῶς, οὔτε κόσμον φέρον, οὔτε γε ἄλλοισι Ἑλλήνων οὐδαμοῖσι, ὑμῖν δὲ δὴ καὶ διὰ πάντων ἥκιστα πολλῶν εἵνεκα. ἠγείρατε γὰρ τόνδε τὸν πόλεμον ὑμεῖς, οὐδὲν ἡμέων βουλομένων, καὶ περὶ τῆς ὑμετέρης ἀρχῆς ὁ ἀγὼν ἐγένετο, νῦν δὲ φέρει καὶ ἐς πᾶσαν τὴν Ἑλλάδα. ἄλλως τε τούτων ἁπάντων αἰτίους γενέσθαι δουλοσύνης τοῖσι Ἕλλησι Ἀθηναίους, οὐδαμῶς ἀνασχετόν, οἵτινες αἰεὶ κατὰ τὸ πάλαι φαίνεσθε πολλοὺς ἐλευθερώσαντες ἀνθρώπων. πιεζομένοισι μέντοι ὑμῖν συναχθόμεθα, καὶ ὅτι καρπῶν ἐστερήθητε διξῶν ἤδη, καὶ ὅτι οἰκοφθόρησθε χρόνον ἤδη πολλόν. ἀντὶ τούτων δὲ ὑμῖν Λακεδαιμόνιοί τε καὶ οἱ σύμμαχοι ἐπαγγέλλονται γυναῖκάς τε καὶ τὰ ἐς πόλεμον ἄχρηστα οἰκετέων ἐχόμενα πάντα ἐπιθρέψειν, ἔστ' ἂν ὁ πόλεμος ὅδε συνεστήκῃ. μηδὲ ὑμέας Ἀλέξανδρος ὁ Μακεδὼν ἀναγνώσῃ, λεήνας τὸν Μαρδονίου λόγον. τούτῳ μὲν γὰρ ταῦτα ποιητέα ἐστί. τύραννος γὰρ ἐὼν, τυράννῳ συγκατεργάζεται. ὑμῖν δὲ οὐ ποιητέα, εἴ περ εὖ τυγχάνετε φρονέοντες, ἐπισταμένοισι, ὡς βαρβάροισι ἐστὶ οὔτε πιστὸν, οὔτε ἀληθὲς οὐδέν. ταῦτα ἔλεξαν οἱ ἄγγελοι. Ἀθηναῖοι δὲ πρὸς μὲν Ἀλέξανδρον ὑπεκρίναντο τάδε· καὶ αὐτοὶ τοῦτό γε ἐπιστάμεθα, ὅτι πολλαπλησίη ἐστὶ τῷ Μήδῳ δύναμις ἤ περ ἡμῖν, ὥστε οὐδὲν δεῖ τοῦτό γε ὀνειδίζειν. ἀλλ' ὅμως ἐλευθερίην σκεπτόμενοι, ἀμυνεύμεθα οὕτω, ὅκως ἂν καὶ δυνώμεθα. ὁμολογῆσαι δὲ τῷ βαρβάρῳ μήτε σὺ ἡμέας πειρῶ ἀναπείθειν, οὔτε ἡμεῖς πεισόμεθα. νῦν τε ἀπάγγελλε Μαρδονίῳ, ὡς Ἀθηναῖοι λέγουσι, ἔστ' ἂν ὁ ἥλιος τὴν αὐτὴν ὁδὸν ἴῃ, τῇ περ καὶ νῦν ἔρχεται, μήκοτε ὁμολογήσειν ἡμέας Ξέρξῃ, ἀλλὰ θεοῖσί τε συμμάχοισι πίσυνοί μιν ἐπέξιμεν ἀμυνόμενοι, καὶ τοῖσι ἥρωσι, τῶν ἐκεῖνος οὐδεμίην ὄπιν ἔχων, ἐνέπρησε τούς τε οἴκους, καὶ τὰ ἀγάλματα. σύ τε τοῦ λοιποῦ λόγους ἔχων τοιούσδε, μὴ ἐπιφαίνεο Ἀθηναίοισι· μὴ δὲ δοκέων χρηστὰ ὑπουργέειν, ἀθέμιστα ἔρδειν παραίνεε. οὐ γάρ σε βουλόμεθα οὐδὲν ἄχαρι πρὸς Ἀθηναίων παθεῖν, ἐόντα πρόξενόν τε καὶ φίλον. πρὸς μὲν Ἀλέξανδρον ταῦτα ὑπεκρίναντο. πρὸς δὲ τοὺς ἀπὸ Σπάρτης ἀγγέλους τάδε. Τὸ μὲν δεῖσαι Λακεδαιμονίους μὴ ὁμολογήσωμεν τῷ βαρβάρῳ, κάρτα ἀνθρωπήιον ἦν. ἀτὰρ αἰσχρῶς γε οἴκατε ἐξεπιστάμενοι τὸ Ἀθηναίων φρόνημα ἀρρωδῆσαι, ὅτι οὔτε χρυσός ἐστι γῆς οὐδαμόθι τοσοῦτος, οὔτε χώρη κάλλεϊ καὶ ἀρετῇ μέγα ὑπερφέρουσα, τὰ ἡμεῖς δεξάμενοι, ἐθέλοιμεν ἂν μηδίσαντες, καταδουλῶσαι τὴν Ἑλλάδα. πολλά τε γὰρ καὶ μεγάλα ἐστὶ τὰ διακωλύοντα ταῦτα μὴ ποιέειν, μηδ' ἢν ἐθέλωμεν. πρῶτα μὲν, καὶ μέγιστα τῶν θεῶν τὰ ἀγάλματα καὶ τὰ οἰκήματα ἐμπεπρησμένα τε καὶ συγκεχωσμένα, τοῖσι ἡμέας ἀναγκαίως ἔχει τιμωρέειν ἐς τὰ μέγιστα μᾶλλον ἤ περ ὁμολογέειν τῷ ταῦτα ἐργασαμένῳ. αὖτις δὲ τὸ Ἑλληνικὸν ὅμαιμόν τε, καὶ ὁμόγλωσσον· καὶ θεῶν ἱδρύματά τε κοινὰ, καὶ θυσίαι, ἤθεά τε ὁμότροπα· ὧν καὶ προδότας γενέσθαι Ἀθηναίους οὐκ ἂν εὖ ἔχοι. ἐπίστασθέ τε οὕτω, εἰ μὴ πρότερον ἐτυγχάνετε ἐπιστάμενοι, ἔστ' ἂν καὶ εἷς περιῇ Ἀθηναίων, μηδαμὰ ὁμολογήσοντας ἡμέας Ξέρξῃ. ὑμέων μέντοι ἀγάμεθα τὴν προνοίην, τὴν πρὸς ἡμέας ἔχουσαν, ὅτι προείδετε ἡμέων οἰκοφθορημένων οὕτω, ὥστε ἐπιθρέψαι ἐθέ-

λειν ἡμέων τοὺς οἰκέτας. καὶ ὑμῖν μὲν ἡ χάρις ἐκπεπλήρωται, ἡμέες μέντοι λιπαρήσομεν οὕτω, ὅκως ἂν ἔχωμεν, οὐδὲν λυπέοντες ὑμέας. νῦν δὲ ὡς οὕτω ἐχόντων, στρατιὴν ὡς τάχιστα ἐκπέμπετε. ὡς γὰρ ἡμεῖς εἰκάζομεν, οὐκ ἑκὰς χρόνου παρέσται ὁ βάρβαρος, ἐσβαλὼν ἐς τὴν ἡμετέρην, ἀλλ' ἐπεὰν τάχιστα πύθηται τὴν ἀγγελίην, ὅτι οὐδὲν ποιήσομεν τῶν ἐκεῖνος ἡμέων προσεδέετο, πρὶν ὦν παρεῖναι ἐκεῖνον ἐς τὴν Ἀττικήν, ἡμέας καιρός ἐστι προβοηθῆσαι ἐς τὴν Βοιωτίην·

## ΗΡΟΔΟΤΟΥ ΙΣΤΟΡΙΩΝ ΟΓΔΟΗ.

# ΗΡΟΔΟΤΟΥ ΙΣΤΟΡΙΩΝ ΕΝΝΑΤΗ.

## ΚΑΛΛΙΟΠΗ.

Οἱ μὲν ταῦτα ὑποκριναμένων Ἀθηναίων, ἀπαλλάσσοντο ἐς Σπάρτην. Μαρδόνιος δέ, ὥς οἱ ἀπονοστήσας Ἀλέξανδρος τὰ παρὰ Ἀθηναίων ἐσήμηνε, ὁρμηθεὶς ἐκ Θεσσαλίης, ἦγε τὴν στρατιὴν σπουδῇ ἐπὶ τὰς Ἀθήνας. ὅκου δὲ ἑκάστοτε γίνοιτο, τούτους παρελάμβανε. τοῖσι δὲ Θεσσαλίης ἡγεομένοισι, οὔτε τὰ πρὸ τοῦ πεπρηγμένα μετέμελε οὐδέν, πολλῷ τε μᾶλλον ἐπῆγον τὸν Πέρσην. καὶ συμπροέπεμψέ τε Θώρηξ ὁ Ληρισαῖος Ξέρξεα φεύγοντα, καὶ τότε ἐκ τοῦ φανεροῦ παρῆκε Μαρδόνιον ἐπὶ τὴν Ἑλλάδα. ἐπεὶ δὲ πορευόμενος γίνεται ὁ στρατὸς ἐν Βοιωτοῖσι, οἱ Θηβαῖοι κατελάμβανον τὸν Μαρδόνιον, καὶ συνεβούλευον αὐτῷ λέγοντες ὡς οὐκ εἴη χῶρος ἐπιτηδεώτερος ἐνστρατοπεδεύεσθαι ἐκείνου. οὐδὲ ἔων ἰέναι ἑκαστέρω, ἀλλ' αὐτοῦ ἱζόμενον, ποιέειν ὅκως ἀμαχητὶ τὴν πᾶσαν Ἑλλάδα καταστρέψηται. κατὰ μὲν γὰρ τὸ ἰσχυρὸν Ἕλληνας ὁμοφρονέοντας, οἵ περ καὶ πρότερον ταὐτὰ ἐγίνωσκον, χαλεπὰ εἶναι περιγίνεσθαι καὶ ἅπασι ἀνθρώποισι. εἰ δὲ ποιήσεις τὰ ἡμεῖς παραινέομεν, ἔφασαν λέγοντες, ἕξεις ἀπόνως ἅπαντα τὰ ἐκείνων ἰσχυρὰ βουλεύματα, πέμπε χρήματα ἐς τοὺς δυναστεύοντας ἄνδρας ἐν τῇσι πόλισι. πέμπων δὲ τὴν Ἑλλάδα, διαστήσεις. ἐνθεῦτεν δὲ τοὺς μὴ τὰ σὰ φρονέοντας, ῥηϊδίως μετὰ τῶν στασιωτέων καταστρέψεαι. οἱ μὲν ταῦτα συνεβούλευον. ὁ δὲ οὐκ ἐπείθετο. ἀλλά οἱ δεινός τις ἐνέστακτο ἵμερος, τὰς Ἀθήνας δεύτερα ἑλεῖν. ἅμα μὲν ὑπ' ἀγνωμοσύνης, ἅμα δὲ πυρσοῖσι διὰ νήσων, ἐδόκεε βασιλέϊ δηλώσειν ἐόντι ἐν Σάρδισι, ὅτι ἔχοι Ἀθήνας. ὃς οὐδὲ τότε ἀπικόμενος ἐς τὴν Ἀττικήν, εὗρε τοὺς Ἀθηναίους, ἀλλ' ἔν τε Σαλαμῖνι τοὺς πλείστους ἐπυνθάνετο εἶναι, ἔν τε τῇσι νηυσί, αἱρέει τε ἔρημον τὸ ἄστυ. ἡ δὲ βασιλέος αἵρεσις ἐς τὴν ὑστέρην τὴν Μαρδονίου ἐπιστρατηΐην, δεκάμηνος ἐγένετο. ἐπεὶ δὲ ἐν Ἀθήνῃσι ἐγένετο Μαρδόνιος, πέμπει ἐς Σαλαμῖνα Μουριχίδην, ἄνδρα Ἑλλησπόντιον, φέροντα τοὺς αὐτοὺς λόγους, τοὺς καὶ Ἀλέξανδρος ὁ Μακεδὼν τοῖσι Ἀθηναίοισι διεπόρθμευσε. ταῦτα δὲ τοδεύτερον ἀπέστελλε, προέχων μὲν τῶν Ἀθηναίων οὐ φιλίας γνώμας, ἐλπίζων δέ σφεας ὑπήσειν τῆς ἀγνωμοσύνης, ὡς δοριαλώτου ἐούσης τῆς Ἀττικῆς χώρης, καὶ ἐούσης ὑπ' ἑωυτῷ. τούτων μὲν εἵνεκα ἀπέπεμψε Μουριχίδην ἐς Σαλαμῖνα. ὁ δὲ ἀπικόμενος ἐπὶ τὴν βουλήν, ἔλεγε τὰ παρὰ Μαρδονίου. τῶν δὲ βουλευτέων Λυκίδης εἶπε γνώμην, ὡς ἐδόκεε ἄμεινον εἶναι δεξαμένους τὸν λόγον, τόν σφι Μουριχίδης προφέρει, ἐξενεῖκαι ἐς τὸν δῆμον. ὁ μὲν δὴ ταύτην τὴν γνώμην ἀπεφαίνετο, εἴτε δὴ δεδεγμένος χρήματα παρὰ Μαρδονίου, εἴτε οἱ καὶ ταῦτα ἑάνδανε. Ἀθηναῖοι δὲ αὐτίκα δεινὸν ποιησάμενοι, οἵ τε ἐκ τῆς βουλῆς, καὶ οἱ ἔξωθεν ὡς ἐπύθοντο, περιστάντες, Λυκίδεα κατέλευσαν βάλλοντες. τὸν δὲ Ἑλλησπόντιον Μουριχίδην, ἀπέπεμψαν ἀσινέα. γινομένου δὲ θορύβου ἐν τῇ Σαλαμῖνι περὶ τὸν Λυκίδεα, πυνθάνονται τῶν Ἀθηναίων αἱ γυναῖκες τὸ γινόμενον. διακελευσαμένη δὲ γυνὴ γυναικί, καὶ παραλαβοῦσα ἐπὶ τὴν Λυκίδεω οἰκίην, ἤισαν αὐτοκελέες, καὶ κατὰ